COLLECTANEA
OF THE FATHERS.

COLLECTANEA

GRAECA ET LATINA

GREEK AND LATIN FATHERS

COLLECTANEA

GRÆCA ET LATINA:

SELECTIONS FROM THE

GREEK AND LATIN FATHERS;

WITH NOTES,

BIOGRAPHICAL AND ILLUSTRATIVE.

BY M. WILLIS, D.D., LL.D.

TORONTO:
HENRY ROWSELL, KING STREET EAST,
PRINTER TO THE UNIVERSITY.
1865.

PREFACE.

Great diversity of opinion has prevailed as to the value of Patristic Theology. Extremes, as happens in many questions, have been run into alike by the admirers and depreciators of early ecclesiastical literature. At any rate, some acquaintance with those ancient writings becomes every student of theology, were it but to enable him to test the references so often made to the authority of the fathers, both in historic questions and questions of doctrine and interpretation. The fact that, in exposing error and in vindicating and illustrating truth, theologians of all ages—we may say also historians and philosophers—have sought to enrich their pages with citations from those ancient works, establishes a presumption that a certain degree of attention given to the study of them will repay the labour.

In a text book designed for occasional use in a Divinity class, it is not attempted to include specimens of all the fathers. The former collection prepared by the editor included only selections from the Latin writers and apologists—Tertullian, Minucius Felix, Cyprian, and Augustine. Having, after mature consideration, resolved to extend his plan, by inserting specimens of the Greek fathers in one common text-book with the Latin, the work of selection, with needful compression, has been no doubt one of difficulty. But if he has succeeded in placing within easy reach of the student the means of gaining some acquaintance with the sentiments and styles of those leading writers,

whose names are more familiar to him than their works are accessible, he will feel that he has accomplished something not unprofitable to the expounder of the Holy Scriptures, who may be reasonably curious to know how men of other ages appreciated the word of God, and how (rightly or wrongly) they interpreted it.

In the former (Latin) collection, having regard to this end of the useful, rather than to what was strictly homogeneous, he had subjoined extracts from the institutes of Calvin, to the selections from the fathers. If these are dropped from this edition, it is because Calvin's work can so easily be obtained apart, or is so generally in students' hands. The necessary regard to condensation has also suggested a more abridged specimen of Tertullian. In withdrawing a portion of his hard, and to many readers somewhat impracticable Latin, it has still been the aim to preserve some of the most valuable, and withal eloquent portions—for they are eloquent—of the Apology. Cyprian and Augustine are abridged in a like proportion; Minucius Felix in a less—the argument is so connected, and the style so beautiful. This condensing process is more than compensated, it will be allowed, by the introducing of new names so well worthy of being associated with these, as those of Lactantius and Jerome, of the Latins; and of the Greeks, Clement, Justin Martyr, Athanasius, and others. Irenæus appears here also: he may be classed either with the Greeks or the Latins. Some would be astonished were the editor to say that he hesitated whether to give a place to Ignatius. Others will think even the stinted measure in which his epistles are recognised more than enough. "*In medio tutissimus.*" The labours of Usher, Vossius, Cotelerius, and others, have convinced nearly all men that the

greater part of the epistles attributed to the good martyr of Antioch, are spurious; and that most of those generally received have suffered interpolation. Still the question as to some of them is not decided. Not only Daillé and Pearson took opposite views; more recently, if Baur is strenuous in rejecting them, Rothe and Hefele earnestly contend for their authenticity. If Neander rejects, Giesler is contented, having eliminated the spurious, to hold the rest. Cureton, after careful scrutiny, retains the brief edition as found in the Syriac. What is presented in the Collectanea is chiefly from the least doubted of these epistles, and the freest from high assertions of spiritual power: a small specimen of the more doubtful is given; that the reader may see both the excellencies and the faults of this celebrated father. It is hard to believe that those writings are a myth, which the most eminent men of many ages quoted and appealed to, for the stimulating of faith and piety—a Eusebius and Theodoret, an Athanasius and Chrysostom, a Jerome and Augustine.

As to the fathers at large, our rule of selection has been the importance of the subjects, with a reasonable regard to variety. The passages introduced have some of them a bearing on the question of the Canon; some contain reasonings on natural and revealed religion both. Others have reference to great and leading articles of Christianity; as the Divinity of the Son, and Spirit. Augustine, besides his valuable views on grace and free will, is drawn upon for wholesome suggestions to the student, as to the right spirit which should characterise both the searcher,—the "indagator,"—and the expounder of divine truth. Other passages enumerate the general duties of life. Some give light on

early practice, as respects the worship and government of the Church.

The present Collectanea differs from the former in the insertion now of some illustrative notes, and the enlargement considerably of the Biographical Sketches of the Fathers. To have multiplied the former much beyond what appears, would have been to cause the volume to swell inconveniently. Such as they are, they will facilitate the reader's work: and the latter, (in which *multum in parvo* has been the aim) will not be useless as suggestions or remembrancers to the student of Church History.

One thing has impressed the editor as he has been conversing with those minds of the ancient times. If in some respects our Theology and Biblical Literature have gained, in systematic preciseness, by the larger means and materials for critical study available in more recent times, it is impossible to despise the immense learning evinced by these great men; and scarcely possible to overlook tho evidence of the Divine agency in raising them up to the great work for which they proved themselves so competent, of defending Christianity in the ages of its imminent peril. And the vanity of the men who would summarily dismiss those early leaders of the Church, and Christian heroes and martyrs, because of some errors in interpretation or doctrine, might be instructed by studying the example of their earnest and devoted application to the work of their day in building up the citadel of the faith. As to many of them, we have seen in the spirit of ardent Christian love burning in their breasts, much to rebuke the coldness, the selfishness, the littleness, of an age so defective, after all, in proportion to its advantages and privileges, in the primitive holiness,

spirituality, love, and zeal. Those who sweepingly disparage these great names, should reflect on two things: how much our matured Theology owes to these early labourers; and how stumbling it must be to him who believes that Christ has ever had a Church, and that the Spirit was promised always to be with it,—to conclude that the most distinguished members of that Church, and those who mainly formed the minds of their generation, had but little or nothing of this Spirit, either in his gifts or his graces! Though in a very different temper from the scoffer, might not many be induced to ask, Where is the promise of His coming? or, if Christ has been true, as no doubt he has been, in giving his presence to his witnesses and saints, shall we ignore or despise those who were thus honoured?

KNOX'S COLLEGE, *October*, 1865.

CONTENTS.

I. CLEMENT OF ROME.

The author of the celebrated Epistle (or Epistles?) that goes under the name of Clement, is, according to the general belief of the ancient Church, the same who is honourably made mention of by Paul, (Phil. iv. 3,) as having "his name in the book of life." Besides the testimony of Eusebius, this is affirmed by Origen, Jerome, and Epiphanius. Though several publications were early issued under the venerable name of this father, such as "The Apostolic Canons," and "The Recognitions of Clement," which were soon proved to be spurious, the christian world has received with cordial consent his first Epistle to the Corinthians; his second has not been so generally accepted. The occasion of the writing, as appears on the perusal of it, was the existence of a spirit of dissension among the members of the Church at Corinth, evincing itself by insubordination, and harsh treatment of their spiritual rulers. According to Irenæus, the letter was sent by Clement in the name of the whole Church at Rome to their brethren at Corinth. By those who reckon Peter to have been the first Bishop of Rome, Clement is represented to have been either the immediate successor in that see, or his successor by two removes, Linus and Cletus (or Anacletus) intervening. A corresponding difference of opinion has existed as to the date of the writing; some referring it to the end of the first century or the close of Domitian's reign: others preferring a much earlier date. Wake, Dodwell, Vossius, and Hefele, suppose it to have been written prior to the year 70. A chief argument on the side of the earlier date, is founded on some allusions in the body of the Epistle, to the temple service as still remaining: though it is perhaps possible to explain these expressions as figurative or

analogical. Another interesting argument is taken from the name "Fortunatus," occurring among the messengers by whom Clement communicated with the Church at Corinth; the same name being mentioned by Paul in an inspired Epistle to that very Church. Being mentioned by *him* as among the mature disciples at Corinth during the Apostle's life, and still being in Clement's time an active messenger of the Church, it is natural to conclude, that no very long number of years had elapsed between those occasions of service.

The Epistle is called by Eusebius "great and wonderful." It certainly has the beauty of simplicity, and its spirit is apostolic. Were it only as demonstrating with what implicit faith the books of the prophets and apostles were received in that age, it is a valuable document. Eusebius relates that down to his day the reading of it was in use in many of the Churches. It is another token of the reverence paid to it, that the earliest copy of the work brought to Europe (for it had been long thought lost) was found included in the same volume with the famous Alexandrian manuscript of the New Testament, believed to have been written not long after the Council of Nice.

ΚΛΗΜΕΝΤΟΣ.

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΟΛΗ Α.

I.

Ἡ ἐκκλησία τοῦ Θεοῦ, ἡ παροικοῦσα Ῥώμην, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, τῇ παροικούσῃ Κόρινθον, κλητοῖς, ἡγιασμενοις ἐν θελήματι Θεοῦ, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ παντοκράτορος Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ πληθυνθείη. Διὰ τὰς αἰφνιδίους καὶ ἐπαλλήλους γενομένας ἡμῖν συμφορὰς καὶ περιπτώσεις, ἀδελφοὶ, βράδιον νομίζομεν ἐπιστροφὴν πεποιηκέναι περὶ τῶν ἐπιζητουμένων παρ' ὑμῖν πραγμάτων, ἀγαπητοὶ, τῆς τε ἀλλοτρίας καὶ ξένης τοῖς ἐκλεκτοῖς τοῦ Θεου, μιαρᾶς καὶ ἀνοσίου στάσεως, ἣν ὀλίγα πρόσωπα προπετῆ καὶ αὐθάδη ὑπάρχοντα εἰς τοσοῦτον ἀπονοίας ἐξέκαυσαν, ὥστε τὸ σεμνὸν καὶ περιβόητον καὶ πᾶσιν ἀνθρώποις ἀξιαγάπητον ὄνομα ὑμῶν μεγάλως βλασφημηθῆναι. Τίς γὰρ, παρεπιδημήσας πρὸς ὑμᾶς, τὴν πανάρετον καὶ βεβαίαν ὑμῶν πίστιν οὐκ ἐδοκίμασεν; τήν τε σώφρονα καὶ ἐπιεικῆ ἐν Χριστῷ εὐσέβειαν οὐκ ἐθαύμασεν; καὶ τὸ μεγαλοπρεπὲς τῆς φιλοξενίας ὑμῶν ἦθος οὐκ ἐκήρυξεν; καὶ τὴν τελείαν καὶ ἀσφαλῆ γνῶσιν οὐκ ἐμακάρισεν; Ἀπροσωπολήπτως γὰρ πάντα ἐποιεῖτε, καὶ τοῖς νομίμοις τοῦ Θεοῦ ἐπορεύεσθε, ὑποτασσόμενοι τοῖς ἡγουμένοις ὑμῶν, καὶ τιμὴν τὴν καθήκουσαν ἀπονέμοντες τοῖς παρ' ὑμῖν πρεσβυτέροις, Νέοις τε μέτρια καὶ σεμνὰ νοεῖν ἐπετρέπετε· γυναιξίν τε ἐν ἀμώμῳ καὶ σεμνῇ καὶ ἁγνῇ συνειδήσει πάντα ἐπιτελεῖν παρηγγέλλετε, στεργούσας καθηκόντως τοὺς ἄνδρας ἑαυτῶν, ἔν τε τῷ [1] κανόνι τῆς ὑποταγῆς ὑπαρχούσας, τὰ κατὰ τὸν οἶκον σεμνῶς οἰκουργεῖν ἐδιδάσκετε, πάνυ σωφρονούσας.

---

[1] Within the bounds or rule of obedience. See sect. 7, *καν. τῆς κλήσεως*: sect. 41, *καν. λειτουργίας*.

II.

Πάντες τε ἐταπεινοφρονεῖτε, μηδὲν ἀλαζονευόμενοι, ὑποτασσόμενοι μᾶλλον ἢ ὑποτάσσοντες, ἥδιον διδόντες ἢ λαμβάνοντες, Τοῖς ἐφοδίοις τοῦ Θεοῦ ἀρκούμενοι, καὶ προσέχοντες τοὺς λόγους αὐτοῦ ἐπιμελῶς, ἐστερνισμένοι ἦτε τοῖς σπλάγχνοις, καὶ τὰ παθήματα αὐτοῦ ἦν πρὸ ὀφθαλμῶν ὑμῶν. Οὕτως εἰρήνη βαθεῖα καὶ λιπαρὰ ἐδέδοτο πᾶσιν, καὶ ἀκόρεστος πόθος εἰς ἀγαθοποιΐαν. καὶ πλήρης πνεύματος ἁγίου ἔκχυσις ἐπὶ πάντας ἐγίνετο· μεστοί τε ὁσίας βουλῆς, ἐν ἀγαθῇ προθυμίᾳ μετ' εὐσεβοῦς πεποιθήσεως ἐξετείνατε τὰς χεῖρας ὑμῶν πρὸς τὸν παντοκράτορα Θεὸν, ἱκετεύοντες αὐτὸν ἱλέως[1] γενέσθαι, εἴ τι ἄκοντες ἡμάρτετε. Ἀγὼν ἦν ὑμῖν ἡμέρας τε καὶ νυκτὸς ὑπὲρ πάσης τῆς ἀδελφότητος, εἰς τὸ σώζεσθαι μετ' ἐλέους καὶ συνειδήσεως τὸν ἀριθμὸν τῶν ἐκλεκτῶν αὐτοῦ. Εἰλικρινεῖς καὶ ἀκέραιοι ἦτε, καὶ ἀμνησίκακοι εἰς ἀλλήλους. Πᾶσα στάσις καὶ πᾶν σχίσμα βδελυκτὸν ὑμῖν· ἐπὶ τοῖς παραπτώμασι τῶν πλησίον ἐπενθεῖτε· τὰ ὑστερήματα αὐτῶν ἴδια ἐκρίνετε. Ἀμεταμέλητοι ἦτε ἐπὶ πάσῃ ἀγαθοποιΐᾳ, "ἕτοιμοι εἰς πᾶν ἔργον ἀγαθόν." Τῇ παναρέτῳ καὶ σεβασμίῳ πολιτείᾳ κεκοσμημένοι, πάντα ἐν τῷ φόβῳ αὐτοῦ ἐπετελεῖτε· τὰ προστάγματα καὶ τὰ δικαιώματα τοῦ κυρίου ἐπὶ τὰ πλάτη τῆς καρδίας ὑμῶν ἐγέγραπτο.

III.

Πᾶσα δόξα καὶ πλατυσμὸς ἐδόθη ὑμῖν, καὶ ἐπετελέσθη τὸ γεγραμμένον· "ἔφαγεν[2] καὶ ἔπιεν, καὶ ἐπλατύνθη καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος." Ἐκ τούτου ζῆλος καὶ φθόνος καὶ ἔρις καὶ στάσις, διωγμὸς καὶ ἀκαταστασία, πόλεμος καὶ αἰχμαλωσία. Οὕτως ἐπηγέρθησαν οἱ ἄτιμοι ἐπὶ τοὺς ἐντίμους, οἱ ἄδοξοι ἐπὶ τοὺς ἐνδόξους, οἱ ἄφρονες ἐπὶ τοὺς φρονίμους, οἱ νέοι ἐπὶ τοὺς πρεσβυτέρους. Διὰ τοῦτο πόῤῥω ἄπεστιν ἡ δικαιοσύνη καὶ εἰρήνη, ἐν τῷ ἀπολείπειν ἕκαστον τὸν φόβον τοῦ Θεοῦ, καὶ ἐν τῇ πίστει αὐτοῦ ἀμβλυωπῆσαι,

---

[1] ἱλέως adv.—some read ἵλεων, though the adv. may thus be joined with the infinitive γενέσθαι.

[2] Deut. xxxii., 15 (Sept.)

μηδὲ ἐν τοῖς νομίμοις τῶν προσταγμάτων αὐτοῦ πορεύεσθαι, μηδὲ πολιτεύεσθαι κατὰ τὸ καθῆκον τῷ Χριστῷ, ἀλλὰ ἕκαστον βαδίζειν κατὰ τὰς ἐπιθυμίας αὐτοῦ τὰς πονηρὰς, ζῆλον ἄδικον καὶ ἀσεβῆ ἀνειληφότας, δἰ οὗ καὶ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον.

IV.

Γέγραπται γὰρ οὕτως· "*καὶ ἐγένετο μεθ' ἡμέρας, ἤνεγκεν* Κάϊν *ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ* Θεῷ, *καὶ* Ἄβελ *ἤνεγκεν καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν.* Καὶ *ἐπεῖδεν ὁ* Θεὸς *ἐπὶ* Ἄβελ *καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· ἐπὶ δὲ* Κάϊν *καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν.* Καὶ *ἐλυπήθη* Κάϊν *λίαν, καὶ συνέπεσεν τῷ προσώπῳ αὐτοῦ.* Καὶ *εἶπεν ὁ* Θεὸς *πρὸς* Κάϊν· *ἵνα τί περίλυπος ἐγένου; καὶ ἵνα τί συνέπεσεν τὸ πρόσωπόν σου;* Οὐκ[1] *ἐὰν ὀρθῶς προσενέγκης, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες;* Ἡσύχασον· *πρός σε ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ.* Καὶ *εἶπεν* Κάϊν *πρὸς* Ἄβελ *τὸν ἀδελφὸν αὐτοῦ, διέλθωμεν εἰς τὸ πεδίον.* Καὶ *ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη* Κάϊν *ἐπὶ* Ἄβελ *τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν."* Ὁρᾶτε, *ἀδελφοὶ,* [2] *ζῆλος καὶ φθόνος ἀδελφοκτονίαν κατειργάσατο.* Διὰ *ζῆλος*[3] *ὁ πατὴρ ἡμῶν* Ἰακὼβ *ἀπέδρα ἀπὸ προσώπου* Ἡσαῦ *τοῦ ἀδελφοῦ αὐτοῦ.* Ζῆλος *ἐποίησεν* Ἰωσὴφ *μέχρι θανάτου διωχθῆναι, καὶ μέχρι δουλείας εἰσελθεῖν.* Ζῆλος *φυγεῖν ἠνάγκασε* Μωϋσῆν *ἀπὸ προσώπου* Φαραὼ *βασιλέως* Αἰγύπτου, *ἐν τῷ ἀκοῦσαι αὐτὸν ἀπὸ τοῦ ὁμοφύλου·* "*τίς σε κατέστησεν κριτὴν ἢ δικαστὴν ἐφ' ἡμῶν; μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες ἐχθὲς τὸν* Αἰγύπτιον;' Διὰ *ζῆλον* Ἀαρὼν *καὶ* Μαριὰμ *ἔξω τῆς παρεμβολῆς ηὐλίσθησαν.* Ζῆλος Δαθὰν *καὶ* Ἀβειρὼν *ζῶντας κατήγαγεν εἰς ᾅδου, διὰ τὸ στασιάσαι αὐτοὺς πρὸς τὸν θεράποντα τοῦ* Θεοῦ Μωϋσῆν. Διὰ *ζῆλος* Δαβὶδ *φθόνον ἔσχεν οὐ μόνον ὑπὸ τῶν ἀλλοφύλων, ἀλλὰ καὶ ὑπὸ* Σαοὺλ *βασιλέως* Ἰσραὴλ *ἐδιώχθη.*

[1] Gen. iv. (Sept.)

[2] A word used in bon. or mal. part.—here in mal.

[3] Used rarely, as if neuter.

V.

'Αλλ' ἵνα τῶν ἀρχαίων ὑποδειγμάτων παυσώμεθα, ἔλθωμεν ἐπὶ τοὺς ἔγγιστα γενομένους ἀθλητάς. Λάβωμεν τῆς γενεᾶς ἡμῶν τὰ γενναῖα ὑποδείγματα. Διὰ ζῆλον καὶ χθόνον οἱ μέγιστοι καὶ δικαιότατοι στύλοι ἐδιώχθησαν, καὶ ἕως θανάτου ἦλθον. Λάβωμεν πρὸ ὀφθαλμῶν ἡμῶν τοὺς ἀγαθοὺς 'Αποστολους. 'Ο Πέτρος διὰ ζῆλον ἄδικον οὐχ ἕνα, οὐδὲ δύο, ἀλλὰ πλείονας ὑπήνεγκεν πόνους, καὶ οὕτω μαρτυρήσας ἐπορεύθη εἰς τὸν ὀφειλόμενον τόπον τῆς δόξης.. Διὰ ζῆλον καὶ ὁ Παῦλος ὑπομονῆς βραβεῖον ὑπέσχεν, ἑπτάκις δεσμὰ φορέσας, φυγαδευθεὶς, λιθασθείς. Κῆρυξ γενόμενος ἔν τε τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει, τὸ γενναῖον τῆς πίστεως αὐτοῦ κλέος ἔλαβεν, δικαιοσύνην διδάξας ὅλον τὸν κόσμον, καὶ ἐπὶ τὸ τέρμα τῆς δύσεως ἐλθὼν, καὶ μαρτυρήσας ἐπὶ τῶν ἡγουμένων.[1] Οὕτως ἀπηλλάγη τοῦ κόσμου, καὶ εἰς τὸν ἅγιον τόπον ἐπορεύθη, ὑπομονῆς γενόμενος μέγιστος ὑπογραμμός·

VI.

Τούτοις τοῖς ἀνδράσιν ὁσὶως πολιτευσαμένοις συνηθροίσθη πολὺ πλῆθος ἐκλεκτῶν, οἵτινες πολλὰς αἰκίας καὶ βασάνους διὰ ζῆλον παθόντες, ὑπόδειγμα κάλλιστον ἐγένοντο ἐν ἡμῖν. Διὰ ζῆλος διωχθεῖσαι γυναῖκες, Δαναΐδες καὶ Δίρκαι,[2] αἰκισματα δεινὰ καὶ ἀνόσια παθοῦσαι, ἐπὶ τὸν τῆς πίστεως βέβαιον δρόμον κατήντησαν, καὶ ἔλαβον γέρας γενναῖον αἱ ἀσθενεῖς τῷ σώματι. Ζῆλος ἀπηλλοτρίωσεν γαμετὰς ἀνδρῶν, καὶ ἠλλοίωσεν τὸ ῥηθὲν ὑπὸ τοῦ πατρὸς ἡμῶν 'Αδάμ· „τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκὸς μου.“ Ζῆλος καὶ ἔρις πόλεις μεγάλας κατέστρεψεν, καὶ ἔθνη μεγάλα ἐξεῤῥίζωσεν.

---

[1] Probably Tigellinus and others, who exercised the government in the end of Nero's reign, or in his absence.

[2] Δανάη τε και Δίρκε (Coteler. &c.)—supposed female martyrs.

VII.

Ταῦτα, ἀγαπητοὶ, οὐ μόνον ὑμᾶς νουθετοῦντες ἐπιστέλλομεν, ἀλλὰ καὶ ἑαυτοὺς ὑπομιμνήσκοντες· ἐν γὰρ τῷ αὐτῷ ἐσμεν σκάμματι, καὶ ὁ αὐτὸς ἡμῖν ἀγὼν ἐπίκειται· Διὸ ἀπολείπωμεν τὰς κενὰς καὶ ματαίας φροντίδας, καὶ ἔλθωμεν ἐπὶ τὸν εὐκλεῆ καὶ σεμνὸν τῆς ἁγίας κλήσεως ἡμῶν κανόνα. Βλέπωμεν, τί καλὸν, καὶ τί τερπνὸν καὶ προσδεκτὸν ἐνώπιον τοῦ ποιήσαντος ἡμᾶς. Ἀτενίσωμεν εἰς τὸ αἷμα τοῦ Χριστοῦ, καὶ ἴδωμεν, ὡς ἔστιν τίμιον τῷ Θεῷ αἷμα αὐτοῦ, ὅ τι διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκχυθὲν παντὶ τῷ κόσμῳ μετανοίας χάριν ὑπήνεγκεν. Ἀνέλθωμεν εἰς τὰς γενεὰς πάσας, καὶ καταμάθωμεν, ὅτι ἐν γενεᾷ καὶ γενεᾷ μετανοίας τόπον ἔδωκεν ὁ δεσπότης τοῖς βουλομένοις ἐπισραφῆναι ἐπ' αὐτόν. Νῶε ἐκήρυξεν μετάνοιαν, καὶ οἱ ὑπακούσαντες ἐσώθησαν. Ἰωνᾶς Νινευΐταις καταστροφὴν ἐκήρυξεν· οἱ δὲ μετανοήσαντες ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐξιλάσαντο τὸν Θεὸν ἱκετεύσαντες, καὶ ἔλαβον σωτηρίαν, καίπερ ἀλλότριοι τοῦ Θεοῦ ὄντες.

XIII.

Ταπεινοφρονήσωμεν οὖν, ἀδελφοὶ, ἀποθέμενοι πᾶσαν ἀλαζονείαν καὶ τύφος[1] καὶ ἀφροσύνην καὶ ὀργάς· καὶ ποιήσωμεν τὸ γεγραμμένον· λέγει γὰρ τὸ πνεῦμα τὸ ἅγιον· "μὴ καυχάσθω ὁ σοφὸς ἐν τη σοφίᾳ αὐτοῦ, μηδὲ ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, μηδὲ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ· ἀλλ' ἢ ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω, τοῦ ἐκζητεῖν αὐτὸν, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην" μάλιστα μεμνημένοι τῶν λόγων τοῦ κυρίου Ἰησοῦ, οὓς ἐλάλησεν διδάσκων ἐπιείκειαν καὶ μακροθυμίαν. Οὕτως γάρ εἶπεν· "ἐλεεῖτε, ἵνα ἐλεηθῆτε· ἀφίετε, ἵνα ἀφεθῇ ὑμῖν· ὡς ποιεῖτε, οὕτω ποιηθήσεται ὑμῖν ὡς· δίδοτε, οὕτως δοθήσεται ὑμῖν· ὡς κρίνετε, οὕτως κριθήσεται ὑμῖν· ὡς χρηστεύεσθε, οὕτως χρηστευθήσεται ὑμῖν· ᾧ μέτρῳ μετρεῖτε, ἐν αὐτῷ μετρηθήσεται ὑμῖν." Ταύτῃ τῇ ἐντολῇ καὶ τοῖς παραγγέλμασι τούτοις στερίξωμεν ἑαυτοὺς πρὸς τὸ πορεύεσθαι

---

[1] Taken as a neuter, like ζῆλος (sect. 4.)

ὑπηκόους ἡμᾶς τοῖς ἁγιοπρεπέσι λόγοις αὐτου, ταπεινοφρονοῦντες.[1] Φησὶν γὰρ ὁ ἅγιος λόγος· "ἐπὶ τίνα ἐπιβλέψω,[2] ἀλλ' ἢ ἐπὶ τὸν πραΰν καὶ ἡσύχιον καὶ τρέμοντά μου τὰ λόγια;"

XIV.

Δίκαιον οὖν καὶ ὅσιον, ἄνδρες ἀδελφοὶ, ὑπηκόους ἡμᾶς μᾶλλον γενέσθαι τῷ Θεῷ, ἢ τοῖς ἐν ἀλαζονείᾳ καὶ ἀκαταστασίᾳ μυσαροῦ ζήλους ἀρχηγοῖς ἐξακολουθεῖν. Βλάβην γὰρ οὐ τὴν τυχοῦσαν, μᾶλλον δὲ κίνδυνον ὑποίσομεν μέγαν, ἐὰν ῥιψοκινδύνως ἐπιδῶμεν ἑαυτοὺς τοῖς θελήμασιν τῶν ἀνθρώπων, οἵτινες ἐξακοντίζουσιν εἰς ἔριν καὶ στάσεις, εἰς τὸ ἀπαλλοτριῶσαι ἡμᾶς τοῦ καλῶς ἔχοντος. Χρηστευσώμεθα αὐτοῖς κατὰ τὴν εὐσπλαγχνίαν καὶ γλυκύτητα τοῦ ποιήσαντος ἡμᾶς. Γέγραπται γάρ· "χρηστοὶ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐπ' αὐτῆς· οἱ δὲ παρανομοῦντες ἐξολεθρευθήσονται ἀπ' αὐτῆς." Καὶ πάλιν λέγει. "εἶδον ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου. καὶ παρῆλθον, καὶ ἰδοὺ, οὐκ ἦν, καὶ ἐξεζήτησα τὸν τόπον αὐτοῦ, καὶ οὐχ εὗρον. Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα, ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ."[3]

XVI.

Ταπεινοφρονούντων γάρ ἐστιν ὁ Χριστὸς, οὐκ ἐπαιρομένων ἐπὶ τὸ ποίμνιον αὐτοῦ· Τὸ σκῆπτρον τῆς μεγαλωσύνης τοῦ Θεοῦ, ὁ κύριος ἡμῶν Χριστὸς Ἰησοῦς, οὐκ ἦλθεν ἐν κόμπῳ ἀλαζονείας, οὐδὲ ὑπερηφανίας, καίπερ δυνάμενος. ἀλλὰ ταπεινοφρονῶν, καθὼς τὸ πνεῦμα τὸ ἅγιον περὶ αὐτοῦ ἐλάλησεν. Φησὶ γάρ· „κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; Ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ· ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ, οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τὸ εἶδος τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὢν καὶ πόνῳ, καὶ εἰδὼς φέρειν

---

[1] ταπεινοφρονοῦντες (var. reading ταπεινοφρονοῦντας.)

[2] Is. lxvi., 2 (Sept.)

[3] Ps. xxxvii., 35-37 (Sept.)

μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη· Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα, αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ καὶ ἐν κακώσει. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν· Πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ κύριος παρέδωκεν αὐτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη. Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἥκει εἰς θάνατον.[1] Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς. [2]Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. Καὶ κύριος βούλεται ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς· καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν, καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη." Καὶ πάλιν αὐτός φησιν· "Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος· ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν· ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν." Ὁρᾶτε, ἄνδρες ἀγαπητοὶ, τίς ὁ ὑπογραμμὸς ὁ δεδομένος ἡμῖν· εἰ γὰρ ὁ κύριος οὕτως ἐταπεινοφρόνησεν, τί ποιήσομεν ἡμεῖς, οἱ ὑπὸ τὸν ζυγὸν τῆς χάριτος αὐτοῦ δι' αὐτοῦ ἐλθόντες;

[1] Isah. liii, 8, (Sept.) according to a supposed reading of the Hebrew, adopted by LOWTH, after ORIGEN and KENNICOTT, but rejected by critics generally.

[2] ἐὰν δῶτε—v. 10, (Sept.), in other copies of Sept. δῶται. JUSTIN gives it "δῶται" (be given)—the true reading—CAPELL, LOWTH, DODSON, Archbp. MAGEE (on Atonement,) &c.—Greek MSS., often interchange ε and αι

XX.

Οἱ οὐρανοὶ τῇ διοικήσει αὐτοῦ σαλευόμενοι ἐν εἰρήνῃ ὑποτάσσονται αὐτῷ· ἡμέρα τε καὶ νὺξ τὸν τεταγμένον ὑπ' αὐτοῦ δρόμον διανύουσιν, μηδὲν ἀλλήλοις ἐμποδίζοντα. Ἥλιός τε καὶ σελήνη, ἀστέρων τε χοροὶ κατὰ τὴν διαταγὴν αὐτοῦ ἐν ὁμονοίᾳ δίχα πάσης παρεκβάσεως ἐξελίσσουσιν τοὺς ἐπιτεταγμένους αὐτοῖς ὁρισμούς. Γῆ κυοφοροῦσα, κατὰ τὸ θέλημα αὐτοῦ τοῖς ἰδίοις καιροῖς τὴν παμπληθῆ ἀνθρώποις τε καὶ θηρσὶν καὶ πᾶσιν τοῖς οὖσιν ἐπ' αὐτὴν ζώοις ἀνατέλλει τροφὴν, μὴ διχοστατοῦσα, μηδὲ ἀλλοιοῦσά τι τῶν δεδογματισμένων, ὑπ' αὐτοῦ. Ἀβύσσων τε ἀνεξιχνίαστα καὶ νερτέρων ἀνεκδιήγητα κρίματα τοῖς αὐτοῖς συνέχεται προστάγμασιν. Τὸ κύτος τῆς ἀπείρου θαλάσσης, κατὰ τὴν δημιουργίαν αὐτοῦ συσταθὲν εἰς τὰς συναγωγὰς, οὐ παρεκβαίνει τὰ περιτεθειμένα αὐτῇ κλεῖθρα, ἀλλὰ καθὼς διέταξεν αὐτῇ, οὕτως ποιεῖ. Εἶπεν γάρ "ἕως ὧδε ἥξεις, καὶ τὰ κύματά σου ἐν σοὶ συντριβήσεται." Ὠκεανὸς ἀνθρώποις ἀπέραντος, καὶ οἱ μετ' αὐτὸν κόσμοι ταῖς αὐταῖς ταγαῖς τοῦ δεσπότου διευθύνονται. * * * * * *

XXI.

Ὁρᾶτε ἀγαπητοὶ, μὴ αἱ εὐεργεσίαι αὐτοῦ αἱ πολλαὶ γένωνται εἰς κρίμα πᾶσιν ἡμῖν, ἐὰν μὴ ἀξίως αὐτοῦ πολιτευόμενοι τὰ καλὰ καὶ εὐάρεστα ἐνώπιον αὐτοῦ ποιῶμεν μεθ' ὁμονοίας. Λέγει γάρ που· "πνεῦμα κυρίου λύχνος ἐρευνῶν τὰ ταμιεῖα τῆς γαστρός." Ἴδωμεν, πῶς ἐγγύς ἐστιν, καὶ ὅτι οὐδὲν λέληθεν αὐτὸν τῶν ἐννοιῶν ἡμῶν, οὐδὲ τῶν διαλογισμῶν, ὧν ποιούμεθα· Δίκαιον οὖν ἐστιν, μὴ λειποτακτεῖν ἡμᾶς ἀπὸ τοῦ θελήματος αὐτοῦ. Μᾶλλον ἀνθρώποις ἄφροσι καὶ ἀνοήτοις καὶ ἐπαιρομένοις καὶ ἐγκαυχωμένοις ἐν ἀλαζονείᾳ τοῦ λόγου αὐτῶν προσκόψωμεν, ἢ τῷ Θεῷ. Τὸν κύριον Ἰησοῦν Χριστὸν, οὗ τὸ αἷμα ὑπὲρ ἡμῶν ἐδόθη, ἐντραπῶμεν, τοὺς προηγουμένους ἡμῶν αἰδεσθῶμεν, τοὺς[1] πρεσβυτέρους ἡμῶν τιμήσωμεν, τοὺς νέους παιδεύσωμεν τὴν παιδείαν τοῦ φόβου τοῦ Θεοῦ, τὰς

---

[1] Elder in years, by contrast with *νέους*. So Archbp. Wake takes it. Some see three offices here—*νέους* being taken for deacons. But compare with this sect. 42.

γυναῖκας ἡμῶν ἐπὶ τὸ ἀγαθὸν διορθωσώμεθα. Τὸ ἀξιαγάπητον τῆς ἁγνείας ἦθος ἐνδειξάσθωσαν, τὸ ἀκέραιον τῆς πραΰτητος αὐτῶν βούλημα ἀποδειξάτωσαν, τὸ ἐπιεικὲς τῆς γλώσσης αὐτῶν διὰ τῆς φωνῆς φανερὸν ποιησάτωσαν, τὴν ἀγάπην αὐτῶν μὴ κατὰ προσκλίσεις, ἀλλὰ πᾶσιν τοῖς φοβουμένοις τὸν Θεὸν ὁσίως, ἴσην παρεχέτωσαν. Τὰ τέκνα ὑμῶν τῆς ἐν Χριστῷ παιδείας μεταλαμβανέτωσαν· μαθέτωσαν, τί ταπεινοφροσύνη παρὰ Θεῷ ἰσχύει, τί ἀγάπη ἁγνὴ παρὰ τῷ Θεῷ δύναται, πῶς ὁ φόβος αὐτοῦ καλὸς καὶ μέγας καὶ σώζων πάντας τοὺς ἐν αὐτῷ ὁσίως ἀναστρεφομένους ἐν καθαρᾷ διανοίᾳ. Ἐρευνητὴς γάρ ἐστιν ἐννοιῶν καὶ ἐνθυμήσεων· οὗ ἡ πνοὴ αὐτοῦ ἐν ἡμῖν ἐστιν, καὶ ὅταν θέλῃ, ἀνελεῖ αὐτήν.

XXXVII.

Στρατευσώμεθα οὖν, ἄνδρες ἀδελφοὶ, μετὰ πάσης ἐκτενείας ἐν τοῖς ἀμώμοις προστάγμασιν αὐτοῦ. Κατανοήσωμεν τοὺς στρατευομένους τοῖς ἡγουμένοις ἡμῶν,[1] πῶς εὐτάκτως, πῶς εὐείκτως, πῶς ὑποτεταγμένως ἐπιτελοῦσιν τὰ διατασσόμενα. Οὐ παντες εἰσὶν ἔπαρχοι, οὐδὲ χιλίαρχοι, οὐδὲ ἑκατόνταρχοι, οὐδὲ πεντηκόνταρχοι, οὐδὲ τὸ καθεξῆς· ἀλλ᾽ ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι τὰ ἐπιτασσόμενα ὑπὸ τοῦ βασιλέως καὶ τῶν ἡγουμένων ἐπιτελεῖ. Οἱ μεγάλοι δίχα τῶν μικρῶν οὐ δύνανται εἶναι, οὔτε οἱ μικροὶ δίχα τῶν μεγάλων· σύγκρασίς τις ἔστιν ἐν πᾶσιν, καὶ ἐν τούτοις χρῆσις. Λάβωμεν τὸ σῶμα ἡμῶν. Ἡ κεφαλὴ δίχα τῶν ποδῶν οὐδέν ἐστιν, οὕτως οὐδὲ οἱ πόδες δίχα τῆς κεφαλῆς· τὰ δὲ ἐλάχιστα μέλη τοῦ σώματος ἡμῶν ἀναγκαῖα καὶ εὔχρηστά εἰσιν ὅλῳ τῷ σώματι, Ἀλλὰ πάντα συμπνεῖ, καὶ ὑποταγῇ μιᾷ χρῆται εἰς τὸ σώζεσθαι ὅλον τὸ σῶμα.

XXXVIII.

Σωζέσθω οὖν ἡμῶν ὅλον τὸ σῶμα ἐν Χριστῷ Ἰησοῦ, καὶ ὑποτασσέσθω ἕκαστος τῷ πλησίον αὐτοῦ, καθὼς καὶ ἐτέθη ἐν τῷ χαρίσματι αὐτοῦ. Ὁ ἰσχυρὸς μὴ ἀτημελείτω τὸν ἀσθενῆ, ὁ δὲ ἀσθενὴς ἐντρεπέτω τὸν ἰσχυρόν. ὁ πλούσιος ἐπιχορη-

[1] Earthly governors meant here.

γειτω τῷ πτωχῷ, ὁ δὲ πτωχὸς εὐχαριστείτω τῷ Θεῷ, ὅτι ἔδωκεν αὐτῷ, δἰ οὗ ἀναπληρωθῇ αὐτοῦ τὸ ὑστέρημα. Ὁ σοφὸς ἐνδεικνύσθω τὴν σοφίαν αὐτοῦ μὴ ἐν λόγοις, ἀλλ' ἐν ἔργοις ἀγαθοῖς· ὁ ταπεινοφρονῶν μὴ ἑαυτῷ μαρτυρείτω, ἀλλ' ἐάτω ὑφ' ἑτέρου ἑαυτὸν μαρτυρεῖσθαι. * * * * * * *

XL.

Προδήλων οὖν ἡμῖν ὄντων τούτων, καὶ ἐγκεκυφότες εἰς τὰ βάθη τῆς θείας γνώσεως, πάντα τάξει ποιεῖν ὀφείλομεν, ὅσα ὁ δεσπότης ἐπιτελεῖν ἐκέλευσεν κατὰ καιροὺς τεταγμένους. Τάς τε προσφορὰς καὶ λειτουργίας ἐπιτελεῖσθαι, καὶ οὐκ εἰκῆ ἢ ἀτάκτως ἐκέλευσεν γίνεσθαι, ἀλλ' ὡρισμένοις καιροῖς καὶ ὥραις. Ποῦ τε καὶ διά τίνων ἐπιτελεῖσθαι θέλει, αὐτὸς ὥρισεν τῇ ὑπερτάτῃ αὐτοῦ βουλήσει, ἵν' ὁσίως πάντα τὰ γινόμενα ἐν εὐδοκήσει εὐπρόσδεκτα εἴη τῷ θελήματι αὐτοῦ. Οἱ οὖν τοῖς πρεστεταγμένοις καιροῖς ποιοῦντες τὰς προσφορὰς αὐτῶν, εὐπρόσδεκτοί τε και μακάριοι· τοῖς γὰρ νομίμοις τοῦ δεσπότου ἀκολουθοῦντες οὐ διαμαρτάνουσιν. Τῷ γὰρ ἀρχιερεῖ ἰδίαι λειτουργίαι δεδομέναι εἰσὶν, καὶ τοῖς ἱερεῦσιν ἴδιος ὁ τόπος προστέτακται, καὶ λευίταις ἴδιαι διακονίαι ἐπίκεινται· ὁ λαϊκός ἄνθρωπος τοῖς λαϊκοῖς προστάγμασιν δέδεται.

XLI.

Ἕκαστος ὑμῶν, ἀδελφοὶ, ἐν τῷ ἰδίῳ τάγματι εὐχαριστείτω Θεῷ, ἐν ἀγαθῇ συνειδήσει ὑπάρχων, μὴ παρεκβαίνων τὸν ὡρισμένον τῆς λειτουργίας αὐτοῦ κανόνα, ἐν σεμνότητι. Οὐ πανταχοῦ, ἀδελφοὶ, προσφέρονται θυσίαι ἐνδελεχισμοῦ, ἢ εὐχῶν, ἢ περὶ ἁμαρτίας καὶ πλημμελίας, ἀλλ' ἢ ἐν Ἱερουσαλὴμ μόνῃ· κἀκεῖ δὲ οὐκ ἐν παντὶ τόπῳ προσφέρεται, ἀλλ' ἔμπροσθεν τοῦ ναοῦ πρὸς τὸ θυσιαστήριον, μωμοσκοπηθὲν τὸ προσφερόμενον διὰ τοῦ ἀρχιερέως καὶ τῶν προειρημένων λειτουργῶν. Οἱ οὖν παρὰ τὸ καθῆκον τῆς βουλήσεως αὐτοῦ ποιοῦντές τι, θάνατον τὸ πρόστιμον ἔχουσιν. Ὁρᾶτε, ἀδελφοὶ, ὅσῳ πλείονος κατηξιώθημεν γνώσεως, τοσούτῳ μᾶλλον ὑποκείμεθα κινδύνῳ.

XLII.

Οἱ ἀπόστολοι ἡμῖν [1] εὐηγγελίσθησαν ἀπὸ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, Ἰησοῦς ὁ Χριστὸς ἀπὸ τοῦ Θεοῦ. Ἐξεπέμφθη ὁ Χριστὸς οὖν ἀπὸ τοῦ Θεοῦ, καὶ οἱ ἀπόστολοι ἀπὸ τοῦ Χριστοῦ· ἐγένοντο οὖν ἀμφότερα εὐτάκτως ἐκ θελήματος Θεοῦ. Παραγγελίας οὖν λαβόντες, καὶ πληροφορηθέντες διὰ τῆς ἀναστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ πιστωθέντες ἐν τῷ λόγῳ τοῦ Θεοῦ, μετὰ πληροφορίας πνεύματος ἁγίου ἐξῆλθον εὐαγγελιζόμενοι, τὴν βασιλείαν τοῦ Θεοῦ μέλλειν ἔρχεσθαι. Κατὰ χώρας οὖν καὶ πόλεις κηρύσσοντες καθίστανον τὰς ἀπαρχὰς αὐτῶν, δοκιμάσαντες τῷ πνεύματι, εἰς ἐπισκόπους καὶ διακόνους τῶν μελλόντων πιστεύειν. Καὶ τοῦτο οὐ καινῶς· ἐκ γὰρ δὴ πολλῶν χρόνων ἐγέγραπτο περὶ ἐπισκόπων καὶ διακόνων. Οὕτως γάρ που λέγει ἡ γραφή· "καταστήσω τοὺς ἐπισκόπους αὐτῶν ἐν δικαιοσύνῃ, καὶ τοὺς διακόνους αὐτῶν ἐν πίστει." [2]

XLIV.

Καὶ οἱ ἀπόστολοι ἡμῶν ἔγνωσαν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔρις ἔσται ἐπὶ τοῦ ὀνόματος τῆς ἐπισκοπῆς. Διὰ ταύτην οὖν τὴν αἰτίαν πρόγνωσιν εἰληφότες τελείαν κατέστησαν τοὺς προειρημένους, καὶ μεταξὺ ἐπινομὴν δεδώκασιν, ὅπως, ἐὰν κοιμηθῶσιν, διαδέξωνται ἕτεροι δεδοκιμασμένοι ἄνδρες τὴν λειτουργίαν αὐτῶν. Τοὺς οὖν κατασταθέντας ὑπ' ἐκείνων, ἢ μεταξὺ ὑφ' ἑτέρων ἐλλογίμων ἀνδρῶν, συνευδοκησάσης τῆς ἐκκλησίας πάσης, καὶ λειτουργήσαντας ἀμέμπτως τῷ ποιμνίῳ τοῦ Χριστοῦ μετὰ ταπεινοφροσύνης, ἡσύχως καὶ ἀβαναύσως, μεμαρτυρημένους τε πολλοῖς χρόνοις ὑπὸ πάντων, τούτους οὐ δικαίως νομίζομεν ἀποβαλέσθαι τῆς λειτουργίας. Ἁμαρτία γὰρ οὐ μικρὰ ἡμῖν ἔσται, ἐὰν τοὺς ἀμέμπτως καὶ ὁσίως προσενεγκόντας τὰ δῶρα τῆς ἐπισκοπῆς ἀποβάλωμεν. Μακάριοι οἱ προοδοιπορήσαντες πρεσβύτεροι, οἵτινες ἔγκαρπον καὶ τελείαν ἔσχον τὴν ἀνάλυσιν· οὐ γὰρ

[1] Perhaps for εὐηγγελίσαντο.—WOTT.
[2] Isaiah. lx., 17 (Sept. with variations.)

εὐλαβοῦνται, μή τις αὐτοὺς μεταστήσῃ ἀπὸ τοῦ ἱδρυμένου αὐτοῖς τόπου. Ὁρῶμεν γὰρ, ὅτι ἐνίους ὑμεῖς μεταγάγετε καλῶς πολιτευομένους ἐκ τῆς ἀμέμπτως αὐτοῖς τετιμημένης λειτουργίας.

XLVI.

Τοιούτοις οὖν ὑποδείγμασι κολληθῆναι καὶ ἡμᾶς δεῖ, ἀδελφοί. Γέγραπται γάρ· [1] "κολλᾶσθε τοῖς ἁγίοις, ὅτι οἱ κολλώμενοι αυτοῖς ἁγιασθήσονται." Καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ λέγει· "μετὰ ἀνδρὸς ἀθώου ἀθῶος ἔσῃ, καὶ μετ᾽ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις." [2] Κολληθῶμεν οὖν τοῖς ἀθώοις καὶ δικαίοις· εἰσὶν δὲ οὗτοι ἐκλεκτοὶ τοῦ Θεοῦ. Ἵνα τί ἔρεις, καὶ θυμοὶ καὶ διχοστασίαι, καὶ σχίσματα, πόλεμός τε ἐν ὑμῖν; Ἢ οὐχὶ ἕνα Θεὸν ἔχομεν καὶ ἕνα Χριστόν; καὶ ἓν πνεῦμα τῆς χάριτος τὸ ἐκχυθὲν ἐφ᾽ ἡμᾶς, καὶ μία κλῆσις ἐν Χριστῷ; Ἵνα τί διέλκομεν καὶ διασπῶμεν τὰ μέλη τοῦ Χρίστοῦ, καὶ στασιάζομεν πρὸς τὸ σῶμα τὸ ἴδιον, καὶ εἰς τοσαύτην ἀπόνοιαν ἐρχόμεθα, ὥστε ἐπιλαθέσθαι ἡμᾶς, ὅτι μέλη ἐσμὲν ἀλλήλων; Μνήσθητε τῶν λόγων Ἰησοῦ τοῦ κυρίου ἡμῶν. Εἶπε γάρ. "οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθε, ἢ ἕνα τῶν ἐκλεκτῶν μου σκανδαλίσαι· κρεῖττον ἦν αὐτῷ, περιτεθῆναι μύλον, καὶ καταποντισθῆναι εἰς τὴν θάλασσαν, ἢ ἕνα τῶν μικρῶν μου σκανδαλίσαι." Τὸ σχίσμα ὑμῶν πολλοὺς διέστρεψεν, πολλοὺς εἰς ἀθυμίαν ἔβαλεν, πολλοὺς εἰς δισταγμὸν, τοὺς πάντας ἡμᾶς εἰς λύπην· καὶ ἐπίμονος ὑμῶν ἐστιν ἡ στάσις.

XLVII.

Ἀναλάβετε τὴν ἐπιστολὴν τοῦ μακαρίου Παύλου τοῦ ἀποστόλου. Τί πρῶτον ὑμῖν ἐν ἀρχῇ [3] τοῦ εὐαγγελίου ἔγραψεν;

---

[1] Not found in Scripture, unless Prov. xiii., 20, ad. sens.; or 1 Cor., vii., 14.

[2] Ps. xviii., 26 (Sept.)

[3] In the first or early times of the Gospel: so COTELER., WOTT., JACOBSON, WAKE; though some understand the "Gospel" as largely taken of the New Testament, corresponding to a frequent use of the word "law" among the Hebrews. There are instances of this application of the word in ORIGEN, and others of the fathers.—JUNIUS, HEINSIUS, and others, suppose that ἀρχῇ του Εὐαγγελίου, means here the beginning of the first Epistle to the Corinthians.

Ἐπ' ἀληθείας πνευματικῶς ἐπέστειλεν ὑμῖν, περὶ αὐτοῦ τε καὶ Κηφᾶ τὲ καὶ Ἀπόλλω, διὰ τὸ καὶ τότε προσκλισεις ὑμᾶς πεποιῆσθαι. Ἀλλ' ἡ πρόσκλισις ἐκείνη ἧττονα ἁμαρτίαν ὑμῖν προσήνεγκεν· προσεκλίθητε γὰρ ἀποστόλοις μεμαρτυρημένοις, καὶ ἀνδρὶ δεδοκιμασμένῳ παρ' αὐτοῖς· Νυνὶ δὲ κατανοήσατε, τίνες ὑμᾶς διέστρεψαν, καὶ τὸ σεμνὸν[1] τῆς περιβοήτου φιλαδελφίας ὑμῶν ἐμείωσαν. Αἰσχρὰ, ἀγαπητοὶ, καὶ λίαν αἰσχρὰ, καὶ ἀνάξια τῆς ἐν Χριστῷ ἀγωγῆς, ἀκούεσθαι, τὴν βεβαιοτάτην καὶ ἀρχαίαν[2] Κορινθίων ἐκκλησίαν, δι' ἓν ἢ δύο πρόσωπα,[3] στασιάζειν πρὸς τοὺς πρεσβυτέρους. Καὶ αὕτη ἡ ἀκοὴ οὐ μόνον εἰς ἡμᾶς ἐχώρησεν, ἀλλὰ καὶ εἰς τοὺς ἑτεροκλινεῖς ὑπάρχοντας ἀφ' ἡμῶν· ὥστε καὶ βλασφημίας ἐπιφέρεσθαι τῷ ὀνόματι κυρίου διὰ τὴν ὑμετέραν ἀφροσύνην, ἑαυτοῖς δὲ κίνδυνον ἐπεξεργάζεσθαι.

---

[1] *σεμνὸν*, gravity.—WAKE translates the clause well: "And lessened the reputation of that brotherly love that was so eminent (so much spoken of) among you."

[2] The church at Corinth was not *ancient* absolutely, but comparatively; being older, or founded earlier, than that at Rome. So we find Mnason (Acts xxi., 16,) called *ἀρχαίῳ μαθητῇ* while the Apostles were yet living. Thus the defenders of the earlier date of the Epistle meet the argument for a later date, so far as founded on this word: WOTT., FREY, DODW., JACOBSON.

[3] *πρόσωπα*—persons.—The word is so used occasionally by the early ecclesiastical writers—once in N. Test., 2 Cor. ii. 10. See WETSTEIN on that passage, or SUICER or SCHLEUSNER on *πρόσωπον*.

II. IGNATIUS.

This father and martyr—of fragrant memory in the annals of the Church—belongs to the time of Trajan. His surname, "Theophorus," may have originated the tradition that Ignatius was that child which our Saviour took into his arms, and presented to the disciples as a picture of the lowliness of spirit He was inculcating. The tradition has no authentic source; and the good martyr himself explained the surname otherwise—as meaning not "Deo gestatus," but "Deum gestans"—(*θεοφόρος* not *θεόφορος*)—for when interrogated by the Emperor, who Theophorus was, he replied, "He who has Christ in his heart," (Acts of Ignatius). According to Irenæus, he had been a companion and disciple of the Apostle John. He is believed to have been thrown to the wild beasts and the flames in the amphitheatre at Rome in the year 107; having been sent thither from Antioch, under a guard of soldiers, though not unaccompanied by attached friends. The Emperor Trajan had visited Antioch in regal pomp; and being determined to take rigorous account of the new religion, he had Ignatius brought before him. With great composure he made his confession of faith, and, anxious only for the safety of his flock, seemed indifferent to personal suffering. The holy man proving pertinacious after torture, Trajan adjudged him to a cruel death. It was while resting at intervals, in course of his jonrney to Rome, that he wrote the letters generally attributed to him. The Epistle from which we have taken the largest extract abounds with expressions of intense love to Christ, and of enthusiastic desire for martyrdom. As mentioned in our general preface, this Epistle is free from those extravagant laudations of the Hierarchy which have brought suspicion on the letters as a whole. The one to the Romans bears good evidences of authenticity, and has survived Cureton's as well as Usher's eliminating and curtailing processes.

ΤΟΥ ΑΓΙΟΥ ΙΓΝΑΤΙΟΥ ΕΠΙΣΤΟΛΑΙ.

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ ἠλεημένῃ ἐν μεγαλειότητι πατρὸς ὑψίστου καὶ Ἰησοῦ Χριστοῦ τοῦ μόνου υἱοῦ αὐτοῦ ἐκκλησίᾳ ἠγαπημένῃ καὶ πεφωτισμένῃ ἐν θελήματι τοῦ θελήσαντος τὰ πάντα, ἅ ἐστιν κατὰ ἀγάπην Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ ἡμῶν, ἥτις καὶ προκάθηται ἐν τόπῳ [1] χωρίου Ῥωμαίων, ἀξιόθεος, ἀξιοπρεπὴς, ἀξιομακάριστος, ἀξιέπαινος, ἀξιεπίτευκτος, ἀξίαγνος καὶ προκαθημένη τῆς ἀγάπης, χριστώνυμος,[2] πατρώνυμος, ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, υἱοῦ πατρός. κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένοις πάσῃ ἐντολῇ αὐτοῦ, πεπληρωμένοις χάριτος Θεοῦ ἀδιακρίτως, καὶ ἀποδιυλισμένοις ἀπὸ παντὸς ἀλλοτρίου χρώματος, πλεῖστα ἐν Ἰησοῦ Χριστῷ, τῷ Θεῷ ἡμῶν, ἀμώμως χαίρειν.

I.

Ἐπευξάμενος Θεῷ ἐπέτυχον ἰδεῖν ὑμῶν τὰ ἀξιόθεα πρόσωπα, ὡς καὶ πλέον ᾐτούμην λαβεῖν· δεδεμένος γὰρ ἐν Χριστῷ Ἰησοῦ ἐλπίζω ὑμᾶς ἀσπάσασθαι, ἐάν περ θέλημα τοῦ Θεοῦ ᾖ τοῦ ἀξιωθῆναί με εἰς τέλος εἶναι. Ἡ μὲν γὰρ ἀρχὴ εὐοικονόμητός ἐστιν, ἐάν περ χάριτος ἐπιτύχω, εἰς τὸ τὸν κλῆρόν μου ἀνεμποδίστως ἀπολαβεῖν. Φοβοῦμαι γὰρ τὴν ὑμῶν ἀγάπην, μὴ αὐτή με ἀδικήσῃ. Ὑμῖν γὰρ εὐχερές ἐστιν, ὃ θέλετε ποιῆσαι· ἐμοὶ δὲ δύσκολόν ἐστι τοῦ Θεοῦ ἐπιτυχεῖν, ἐάνπερ ὑμεῖς φείσησθέ μου.

---

[1] Vossius prefers the reading, ἐν τοπῳ χοροῦ, with the ancient Latin interpretation; "in loco chori Romanorum." "Quis non videt (Vossius says) lectionem hanc tam perspicuam esse quam obscura et barbara sit altera? Choris etiam alibi comparat cœtus christianorum." Ittigius, Pearson, Wake, Hefele, prefer τόπῳ χωρίου, as in the text—"In the place of the region of the Romans."—Wake.

[2] χριστόνομος (vet. int. and Syriac) which Vossius calls "verissima lectio," as if "Christi habens legem." The present reading is favoured by Jacobson, and by context—πατρώνυμος.

II.

Οὐ γὰρ θέλω ὑμῖν ἀνθρωπαρεσκῆσαι, ἀλλὰ Θεῷ ἀρέσαι, ὥσπερ καὶ ἀρέσκετε. Οὐ γὰρ ἐγώ ποτε ἕξω καιρὸν τοιοῦτον Θεοῦ ἐπιτυχεῖν, οὔτε ὑμεῖς, ἐὰν σιωπήσητε, κρείττονι ἔργῳ ἔχετε ἐπιγραφῆναι. Ἐὰν γὰρ σιωπήσητε ἀπ' ἐμοῦ, ἐγὼ γενήσομαι Θεοῦ· ἐὰν δὲ ἐρασθῆτε τῆς σαρκός μου, πάλιν ἔσομαι [1] τρέχων. Πλέον μοι μὴ παράσχησθε τοῦ σπονδισθῆναι Θεῷ, ὡς ἔτι θυσιαστήριον ἕτοιμόν ἐστιν· ἵνα, ἐν ἀγάπῃ χορὸς γενόμενοι, ᾄσητε τῷ Πατρὶ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὸν ἐπίσκοπον Συρίας ὁ Θεὸς κατηξίωσεν εὑρεθῆναι εἰς δύσιν ἀπὸ ἀνατολῆς μεταπεμψάμενος. Καλὸν τὸ δῦναι ἀπὸ κόσμου πρὸς Θεὸν, ἵνα εἰς αὐτὸν ἀνατείλω.

III.

Οὐδέποτε ἐβασκάνατε οὐδένα· ἄλλους ἐδιδάξατε. Ἐγὼ δὲ θέλω, ἵνα κἀκεῖνα βέβαια ᾖ, ἃ μαθητεύοντες ἐντέλλεσθε. Μόνον μοι δύναμιν αἰτεῖσθε ἔσωθέν τε καὶ ἔξωθεν, ἵνα μὴ μόνον λέγω, ἀλλὰ καὶ θέλω, ἵνα μὴ μόνον λέγωμαι χριστιανὸς, ἀλλὰ καὶ εὑρεθῶ· Ἐὰν γὰρ καὶ εὑρεθῶ, καὶ λέγεσθαι δύναμαι, καὶ τότε πιστὸς εἶναι, ὅταν κόσμῳ μὴ φαίνωμαι· Οὐδὲν φαινόμενον [2] αἰώνιον. "Τὰ γὰρ βλεπόμενα πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα αἰώνια." Ὁ γὰρ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, ἐν Πατρὶ ὢν, μᾶλλον φαίνεται. Οὐ σιωπῆς μόνον τὸ ἔργον, ἀλλὰ μεγέθους ἐστὶν ὁ Χριστιανισμός.

IV.

Ἐγὼ γράφω ταῖς ἐκκλησίαις, καὶ ἐντέλλομαι πᾶσιν, ὅτι ἐγὼ ἑκὼν ὑπὲρ Θεοῦ ἀποθνήσκω, ἐάνπερ ὑμεῖς μὴ κωλύσητε. Παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένησθέ μοι. Ἄφετέ με θηρίων εἶναι βορὰν, δι' ὧν ἔνεστιν Θεοῦ ἐπιτυχεῖν. Σῖτός εἰμι Θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀλήθωμαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ τοῦ Χριστοῦ. Μᾶλλον κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται, καὶ μηδὲν καταλίπωσι τοῦ σώματός μου, ἵνα μὴ κοιμηθεὶς βαρύς τινι γένωμαι. Τότε ἔσομαι

---

[1] Syrus et vetus interpr. lat. legerunt ἔσομαι ἠχὼ, *factus sum vox*, ut interpres reddit......Multo preferenda est lectio græci textus. Sensus est; *denuo mihi erit currendum in hoc stadio vitæ, cujus metam pene attigi.*—Hefele.

[2] Note—Syr. and old Lat. read ἀγαθὸν.

μαθητὴς ἀληθῶς του Χριστοῦ, ὅτε οὐδὲ τὸ σῶμά μου ὁ κόσμος ὄψεται. Λιτανεύσατε τὸν Χριστὸν ὑπὲρ ἐμοῦ, ἵνα διὰ τῶν ὀργάνων τούτων θυσία εὑρεθῶ. Οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι ὑμῖν. Ἐκεῖνοι ἀπόστολοι, ἐγὼ κατάκριτος· ἐκεῖνοι ἐλεύθεροι, ἐγὼ δὲ μέχρι νῦν δοῦλος. Ἀλλ' ἐὰν πάθω, ἀπελεύθερος Ἰησοῦ, καὶ ἀναστήσομαι ἐν αὐτῷ ἐλεύθερος. Νῦν μανθάνω δεδεμένος μηδὲν ἐπιθυμεῖν κοσμικὸν ἢ μάταιον.

V.

Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ, διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας, δεδεμένος δέκα λεοπάρδοις,[1] *ὅ ἐστι στρατιωτῶν τάγμα, οἳ καὶ εὐεργετούμενοι χείρους γίνονται.*[2] *Ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι, " ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι." Ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων, καὶ εὔχομαι ἕτοιμά μοι εὑρεθῆναι· ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν, οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο. Κἂν αὐτὰ δὲ ἄκοντα μὴ θελήσῃ, ἐγὼ προσβιάσομαι. Συγγνώμην μοι ἔχετε· τί μοι συμφέρει, ἐγὼ γινώσκω. Νῦν ἄρχομαι μαθητὴς ειναι. Μηδέν με ζηλώσῃ τῶν ὁρατῶν καὶ ἀοράτων, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. Πῦρ καὶ σταυρὸς, θηρὶων τε συστάσεις, ἀνατομαὶ, διαιρέσεις, σκορπισμοὶ ὀστέων, συγκοπὴ μελῶν, ἀλησμοὶ ὅλου τοῦ σώματος, κακαὶ κολάσεις τοῦ διαβόλου ἐπ' ἐμὲ ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω.*

* * * * * * * *

VII.

Ὁ ἐμὸς ἔρως ἐσταύρωται, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον.[3] *ὕδωρ δὲ ζῶν καὶ λαλοῦν ἐν ἐμοί, ἔσωθέν μοι λέγον· δεῦρο πρὸς τὸν πατέρα. Οὐχ ἥδομαι τροφῇ φθορᾶς, οὐδὲ ἡδοναῖς τοῦ βίου τούτου. Ἄρτον Θεοῦ θέλω, ἄρτον οὐράνιον, ἄρτον ζωῆς, ὅς ἐστιν σὰρξ Ἰησοῦ Χριστοῦ, τȢ υἱοῦ τοῦ Θεοῦ, τοῦ γενομένου ἐν ὑστέρῳ ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραάμ· καὶ πόμα Θεοῦ θέλω, τὸ αἷμα αὐτου, ὅ ἐστιν ἀγάπη ἄφθαρτος, καὶ ἀέννaος ζωή.*

---

[1] λεοπάρδοις—meaning the soldiers—his rough guards.

[2] Kindness was thrown away upon them—"Fortasse milites isti a christianis dona acceperunt, ut mansuetiores erga Ignatium essent."—HEFELE.

[3] That loves or feeds on material things (ὕλη.) Another reading is πῦρ φιλουν τί. His earthly affections were crucified. Some suppose Christ meant objectively.

[1] ΤΡΑΛΛΙΑΝΟΙΣ.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἠγαπημένῃ Θεῷ, πατρὶ Ἰησοῦ Χριστοῦ, ἐκκλησίᾳ ἁγίᾳ, τῇ οὔσῃ ἐν Τράλλεσιν τῆς Ἀσίας, ἐκλεκτῇ καί ἀξιοθέῳ, εἰρηνευούσῃ ἐν σαρκὶ καὶ αἵματι καὶ τῷ πάθει Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν ἐν τῇ εἰς αὐτὸν ἀναστάσει· ἣν καὶ ἀσπάζομαι ἐν τῷ πληρώματι, ἐν ἀποστολικῷ χαρακτῆρι, καὶ εὔχομαι πλεῖστα χαίρειν.

* * * * * * * *

II.

Ὅταν γὰρ τῷ ἐπισκόπῳ ὑποτάσσεσθε ὡς Ἰησοῦ [2] Χριστῷ, φαίνεσθέ μοι οὐ κατὰ ἄνθρωπον ζῶντες, ἀλλὰ κατὰ Ἰησοῦν Χριστὸν, τὸν δι' ἡμᾶς ἀποθανόντα, ἵνα πιστεύσαντες εἰς τὸν θάνατον αὐτοῦ, τὸ ἀποθανεῖν ἐκφύγητε. Ἀναγκαῖον οὖν ἐστιν, ὥσπερ ποιεῖτε, ἄνευ τοῦ ἐπισκόπου μηδὲν πράσσειν ὑμᾶς, ἀλλ' ὑποτάσσεσθαι καὶ τῷ πρεσβυτερίῳ, ὡς τοῖς ἀποστόλοις Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, ἐν ᾧ διάγοντες εὑρεθησόμεθα. Δεῖ δὲ καὶ τοὺς διακόνους, ὄντας [3] μυστηρίων Ἰησοῦ Χριστοῦ, κατὰ πάντα τρόπον πᾶσιν ἀρέσκειν. Οὐ γὰρ βρωμάτων καὶ ποτῶν εἰσιν διάκονοι, ἀλλ' ἐκκλησίας Θεοῦ ὑπηρέται. Δέον οὖν αὐτοὺς φυλάσσεσθαι τὰ ἐγκλήματα ὡς πῦρ.

---

[1] This Epistle to the Church of Tralles is not extant in the Syriac version, edited by Cureton.

[2] It is worthy of notice, that in Ignatius' Epistles, the Bishop is always represented as Christ's representative; the Presbyters as the representatives of the Apostles; whereas, according to the view which soon after prevailed in the Church, the Bishops are the successors and representatives of the Apostles. The Ignatian apprehension of this relation appears to have had its origin in Jerusalem, where James, the brother of Jesus, might be reckoned the representative of the latter; and, in like manner, the other relatives of Jesus who were subsequently chosen presidents by the churches in Palestine.—Gieseler's Ecc. Hist. I.

[3] Some read *μυστήριον*. The ancient Latin interpetation reads as in our text, "ministros existentes mysteriorum, Jes. Ch.:" Vossius explains this, "ministros mysteriorum Dei, seu sacramentorum." Hefele supposes the allusion to be to 1 Tim., iii., 9, and 1 Cor., iv., 1.

ΦΙΛΑΔΕΛΦΕΥΣΙΝ.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ Θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ, τῇ οὔσῃ ἐν Φιλαδελφίᾳ τῆς Ἀσίας, ἠλεημένῃ καὶ ἡδρασμένῃ ἐν ὁμονοίᾳ Θεοῦ, καὶ ἀγαλλιωμένῃ ἐν τῷ πάθει τοῦ κυρίου ἡμῶν ἀδιακρίτως, καὶ ἐν τῇ ἀναστάσει αὐτοῦ πεπληροφορημένῃ ἐν παντὶ ἐλέει· ἣν ἀσπάζομαι ἐν αἵματι Ἰησοῦ Χριστοῦ· ἥτις ἐστὶν χαρὰ αἰώνιος καὶ παράμονος, μάλιστα ἐὰν ἐν ἑνὶ ὦσιν σὺν τῷ ἐπισκόπῳ καὶ τοῖς σὺν αὐτῷ πρεσβυτέροις καὶ διακόνοις, ἀποδεδειγμένοις ἐν γνώμῃ Ἰησοῦ Χριστοῦ, οὓς κατὰ τὸ ἴδιον θέλημα ἐστήριξεν ἐν βεβαιωσύνῃ, τῷ Ἁγίῳ αὐτοῦ Πνεύματι.

II.

Τέκνα οὖν φωτός καὶ ἀληθείας, φεύγετε τὸν μερισμὸν καὶ τὰς κακοδιδασκαλίας· ὅπου δὲ ὁ ποιμήν ἐστιν, ἐκεῖ ὡς πρόβατα ἀκολουθεῖτε. Πολλοὶ γὰρ λύκοι ἀξιόπιστοι ἡδονῇ κακῇ αἰχμαλωτίζουσι τοὺς θεοδρόμους· ἀλλ' ἐν τῇ ἑνότητι ὑμῶν οὐχ ἕξουσιν τόπον.

III.

Ἀπέχεσθε τῶν κακῶν βοτανῶν, ἅστινας οὐ γεωργεῖ Ἰησοῦς Χριστὸς, διὰ τὸ μὴ εἶναι αὐτὰς φυτείαν πατρός. Οὐχ ὅτι παρ' ὑμῖν μερισμὸν εὗρον, ἀλλ' ἀποδιϋλισμόν.[1] Ὅσοι γὰρ Θεοῦ εἰσιν καὶ Ἰησοῦ Χριστοῦ, οὗτοι μετὰ τοῦ [2]ἐπισκόπου εἰσίν· καὶ ὅσοι ἂν μετανοήσαντες ἔλθωσιν ἐπὶ τὴν ἑνότητα τῆς ἐκκλησίας, καὶ οὗτοι Θεοῦ ἔσονται, ἵνα ὦσιν κατὰ Ἰησοῦν Χριστὸν ζῶντες. Μὴ πλανᾶσθε, ἀδελφοί μου· εἴ τις σχίζοντι ἀκολουθεῖ, βασιλείαν Θεοῦ οὐ κληρονομεῖ· εἴ τις ἐν ἀλλοτρίᾳ γνώμῃ περιπατεῖ, οὗτος τῷ πάθει οὐ συγκατατίθεται.

---

[1] A compound of ὑλίζω; defæco, purgo.

[2] It has been satisfactorily ascertained that the extravagant passages of Ignatius on the Episcopate, which have hitherto presented to impartial readers the appearance of an awkward anacronism, were really interpolations.—GAUSSEN on Canon, p. 256.

Ignatius recommends submission to the Episcopal authority as something new. He represents the first Presbyters of the churches as Bishops, and wishes to induce them to appropriate the idea of the episcopate.—GIESELER.

IV.

Σπουδάζετε οὖν μιᾷ εὐχαριστίᾳ χρῆσθαι· μία γὰρ σὰρξ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἓν ποτήριον εἰς ἕνωσιν[1] τοῦ αἵματος αὐτοῦ, ἓν θυσιαστήριον, ὡς εἷς ἐπίσκοπος, ἅμα τῷ πρεσβυτερίῳ καὶ διακόνοις, τοῖς συνδούλοις μου· ἵνα, ὃ ἐὰν πράσσητε, κατὰ Θεὸν πράσσητε.

V.

Ἀδελφοί μου, λίαν ἐκκέχυμαι ἀγαπῶν ὑμᾶς, καὶ ὑπεραγαλλόμενος ἀσφαλίζομαι ὑμᾶς· οὐκ ἐγὼ δὲ, ἀλλ' Ἰησοῦς Χριστὸς, ἐν ᾧ δεδεμένος φοβοῦμαι μᾶλλον, ὡς ἔτι ὢν ἀναπάρτιστος.[2] Ἀλλ' ἡ προσευχὴ ὑμῶν εἰς Θεόν με ἀπαρτίσει, ἵνα, ἐν ᾧ κλήρῳ ἠλεήθην, ἐπιτύχω, προσφυγὼν τῷ εὐαγγελίῳ ὡς σαρκὶ Ἰησοῦ, καὶ τοῖς ἀποστόλοις ὡς πρεσβυτερίῳ ἐκκλησίας. Καὶ τοὺς προφήτας δὲ ἀγαπῶμεν, διὰ τὸ καὶ αὐτοὺς εἰς τὸ εὐαγγέλιον κατηγγελκέναι, καὶ εἰς αὐτὸν ἐλπίζειν, καὶ αὐτὸν ἀναμένειν· ἐν ᾧ καὶ πιστεύσαντες ἐσώθησαν, ἐν ἑνότητι Ἰησοῦ Χριστοῦ, ὄντες ἀξιαγαπητοὶ καὶ ἀξιοθαύμαστοι ἅγιοι, ὑπὸ Ἰησοῦ Χριστοῦ μεμαρτυρημένοι, καὶ συνηριθμημένοι ἐν τῷ εὐαγγελίῳ τῆς κοινῆς ἐλπίδος.

---

[1] No idea as yet of withholding the cup from the laity.

[2] A compound of ἀρτιζώ, meaning not yet perfected; but only on the way to suffering.—WAKE. Another reading is ἀνάρπαστος, a compound of ἁρπάζω.

III. POLYCARP.

This distinguished martyr suffered under one of the Antonines—in the year 147 according to some, or 166 according to others. The persecution in the time of M. Aurelius raged with great violence in Asia minor. Polycarp had long and with much dignity presided as pastor of the Church at Smyrna; having been ordained to that charge, (so Irenæus tells us) by one of the Apostles. He had been a disciple of John. It was the opinion of Usher that Polycarp was "the angel of the Church at Smyrna," addressed in the Apocalypse. He was venerated over all Asia as the father of the Christians. The affecting story of his martyrdom is told minutely in a letter written by the Church at Smyrna, addressed to the Church at Philadelphia, and preserved by Eusebius. That document appears to have been a circular sent by request to the sister Churches for their information, and was so prized by them as to have been read for instruction in many of their public assemblies. Scaliger and Lord Hailes have lauded it as among the most precious monuments of ecclesiastical antiquity. The Epistle of Polycarp himself to the Church at Philippi, though spoken of by Mosheim as not unanimously held authentic, has been very generally and cordially accepted as such. Irenæus styles it "epistola perfectissima," and Jerome relates that it was read in the Churches of Asia down to his time. Pearson, Usher, Cave, and many more have held its authority to be beyond question. One of the latest testimonies to it is given by Gaussen (on the Canon) in these strong terms: "This admirable monument is at once of an antiquity so near the Apostles, of an authenticity so perfectly attested, and so abundantly rich in its quotations of Scripture, that itself alone would furnish satisfactory evidence of the universal use of the canon in the first years of the second century. The whole epistle, from one end to the other, reveals a piety which is immersed in the Sacred Word, and thinks in apostolic language."

ΤΟΥ ΑΓΙΟΥ ΠΟΛΥΚΑΡΠΟΥ

ΠΡΟΣ

ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

Πολύκαρπος καὶ οἱ σὺν αὐτῷ πρεσβύτεροι[1] *τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ* [1]*τῇ παροικούσῃ Φιλίππους· ἔλεος ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ παντοκράτορος καὶ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν πληθυνθείη.*

I.

Συνεχάρην ὑμῖν μεγάλως ἐν κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, δεξαμένοις τὰ μιμήματα τῆς ἀληθοῦς ἀγάπης, καὶ προπέμψασιν, ὡς ἐπέβαλεν ὑμῖν, τοὺς ἐνειλημμένους τοῖς ἁγιοπρεπέσι δεσμοῖς, ἅτινά ἐστι διαδήματα τῶν ἀληθῶς ὑπὸ Θεοῦ καὶ τοῦ κυρίου ἡμῶν ἐκλελεγμένων· καὶ ὅτι ἡ βεβαία τῆς πίστεως ὑμῶν ῥίζα, ἐξ ἀρχαίων καταγγελομένη χρόνων, μέχρι νῦν διαμένει, καὶ καρποφορεῖ εἰς τον κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃς ὑπέμεινεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἕως θανάτου καταντῆσαι, "ὃν ἤγειρεν ὁ Θεὸς, λύσας τας ὠδῖνας τοῦ ᾅδου." "Εἰς ὃν οὐκ ἰδόντες πιστεύετε, πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ·" εἰς ἣν πολλοὶ ἐπιθυμοῦσιν εἰσελθεῖν, εἰδότες, ὅτι "χάριτί ἐστε σεσωσμένοι, οὐκ ἐξ ἔργων," ἀλλὰ θελήματι Θεοῦ, διὰ Ἰησοῦ Χριστοῦ.

II.

"Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας ὑμῶν" "δουλεύσατε τῷ Θεῷ ἐν φόβῳ" καὶ ἀληθείᾳ, ἀπολιπόντες τὴν κενὴν ματαιο-

---

[1] Of the seven Epistles received by many as those of Ignatius, one is addressed to Polycarp—though that letter is not only ignored in the Syriac version, but is rejected as spurious by Usher, who accepts the six. In that Epistle he addresses Polycarp as *ἐπίσκοπον*, different from the *πρεσβυτέροις*, and exhorts him to the exercise of his episcopal rights and duties; whereas Polycarp in this Epistle designates himself merely as the principal Presbyter. "Ignatius, through the instrumentality of his Epistles, recommended episcopacy universally as a condition of unity, and that too in the most urgent terms; and thus the first Presbyters soon generally moved up to the higher step as *ἐπίσκοποι*, although they retained besides, for a long time, the title *πρεσβύτεροι*."—Gieseler, I., 107.

λογίαν καὶ τὴν τῶν πολλῶν πλάνην, "πιστεύσαντες εἰς τὸν ἐγείραντα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν, καὶ δόντα αὐτῷ δόξαν" καὶ θρόνον ἐκ δεξιῶν αὐτοῦ· ᾧ ὑπετάγη τὰ πάντα ἐπουράνια καὶ ἐπίγεια· ᾧ πᾶσα πνοὴ[1] λατρεύει· ὃς ἔρχεται[2] κριτὴς ζώντων καὶ νεκρῶν· οὗ τὸ αἷμα ἐκζητήσει ὁ Θεὸς ἀπὸ τῶν ἀπειθούντων αὐτῷ. Ὁ δὲ ἐγείρας αὐτὸν ἐκ νεκρῶν καὶ ἡμᾶς ἐγερεῖ, ἐὰν ποιῶμεν αὐτοῦ τὸ θέλημα, καὶ πορευώμεθα ἐν ταῖς ἐντολαῖς αὐτοῦ, καὶ ἀγαπῶμεν ἃ ἠγάπησεν, ἀπεχόμενοι πάσης ἀδικίας, πλεονεξίας, φιλαργυρίας, καταλαλιᾶς, ψευδομαρτυρίας· "μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας," ἢ γρόνθον ἀντὶ γρόνθου,[3] ἢ κατάραν ἀντὶ κατάρας· μνημονεύοντες δὲ ὧν εἶπεν ὁ Κύριος διδάσκων· μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· ἀφίετε, καὶ ἀφεθήσεται ὑμῖν· ἐλεεῖτε, ἵνα ἐλεηθῆτε· ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν" καὶ, ὅτι "μακάριοι οἱ πτωχοὶ, καὶ οἱ διωκόμενοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ."

III.

Ταῦτα, ἀδελφοὶ, οὐκ ἐμαυτῷ ἐπιτρέψας γράφω ὑμῖν περὶ τῆς δικαιοσύνης· ἀλλ' ἐπεὶ ὑμεῖς προεπεκαλέσασθέ με. Οὔτε γὰρ ἐγὼ, οὔτε ἄλλος ὅμοιος ἐμοὶ δύναται κατακολουθῆσαι τῇ σοφίᾳ τοῦ μακαρίου καὶ ἐνδόξου Παύλου· ὃς γενόμενος ἐν ὑμῖν, κατὰ πρόσωπον τῶν τότε ἀνθρώπων ἐδίδαξεν ἀκριβῶς καὶ βεβαίως τὸν περὶ ἀληθείας λόγον· ὃς καὶ ἀπὼν ὑμῖν ἔγραψεν ἐπιστολὰς,[4] εἰς ἃς ἐὰν ἐγκύπτητε, δυνηθήσεσθε οἰκοδομεῖσθαι εἰς τὴν δοθεῖσαν ὑμῖν πίστιν, "ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν." ἐπακολουθούσης τῆς ἐλπίδος, προαγούσης

---

[1] πνοὴ, spirit, or what has breath—used in this sense in Sept., Ps. cl., 6.

[2] ἔρχεται, in the sense of ἐλεύσεται—see like use of present for future in New Testament—John xvi., 28; Rev. i., 7, &c.

[3] Rarely used in classic Greek—same as πυγμή.

[4] Plural for singular: "Epistolas de *una* epistola dici monet Cotelerius, et plura exempla affert. Consentit ei De Wette."—Hefele.

τῆς ἀγάπης, τῆς εἰς Θεὸν καὶ Χριστὸν, καὶ εἰς τὸν πλησίον. Ἐὰν γάρ τις τούτων ἐντὸς ᾖ, πεπλήρωκεν ἐντολὴν δικαιοσύνης· ὁ γὰρ ἔχων ἀγάπην μακράν ἐστι πάσης ἁμαρτίας.[1]

V.

Εἰδότες οὖν, ὅτι "Θεὸς οὐ μυκτηρίζεται," ὀφείλομεν ἀξίως τῆς ἐντολῆς αὐτοῦ καὶ δόξης περιπατεῖν. Ὁμοίως διάκονοι ἄμεμπτοι κατενώπιον αὐτοῦ τῆς δικαιοσύνης, ὡς Θεοῦ καὶ Χριστοῦ διάκονοι, καὶ οὐκ ἀνθρώπων· μὴ διάβολοι, μὴ δίλογοι, ἀφιλάργυροι, ἐγκρατεῖς περὶ πάντα, εὔσπλαγχνοι, ἐπιμελεῖς, πορευόμενοι κατὰ τὴν ἀλήθειαν τοῦ κυρίου, ὃς ἐγένετο διάκονος πάντων· ᾧ ἐὰν εὐαρεστήσωμεν ἐν τῷ νῦν αἰῶνι, ἀποληψόμεθα καὶ τὸν μέλλοντα, καθὼς ὑπέσχετο ἡμῖν ἐγεῖραι ἡμᾶς ἐκ νεκρῶν, καὶ ὅτι ἐὰν πολιτευσώμεθα ἀξίως αὐτοῦ, "καὶ συμβασιλεύσομεν" αὐτῷ, εἴγε πιστεύομεν. Ὁμοίως καὶ νεώτεροι ἄμεμπτοι ἐν πᾶσι, πρὸ παντὸς προνοοῦντες ἁγνείας, καὶ χαλιναγωγοῦντες ἑαυτοὺς ἀπὸ παντὸς κακοῦ. Καλὸν γὰρ τὸ ἀνακόπτεσθαι ἀπὸ τῶν ἐπιθυμιῶν τῶν ἐν τῷ κόσμῳ, ὅτι πᾶσα "ἐπιθυμία κατὰ τοῦ πνεύματος στρατεύεται·" καὶ "οὔτε πόρνοι, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται βασιλείαν Θεοῦ κληρονομήσουσιν," οὔτε οἱ ποιοῦντες τὰ ἄτοπα. Διὸ δέον ἀπέχεσθαι ἀπὸ πάντων τούτων, ὑποτασσομένους τοῖς πρεσβυτέροις καὶ διακόνοις, ὡς Θεῷ καὶ Χριστῷ· τὰς παρθένους ἐν ἀμώμῳ καὶ ἁγνῇ συνειδήσει περιπατεῖν.

VI.

Καὶ οἱ πρεσβύτεροι δὲ εὔσπλαγχνοι, εἰς πάντας ἐλεήμονες, ἐπιστρέφοντες[2] *τὰ ἀποπεπλανημένα, ἐπισκεπτόμενοι πάντας ἀσθενεῖς, μὴ ἀμελοῦντες χήρας, ἢ ὀρφανοῦ, ἢ πένητος· ἀλλὰ*

[1] Probably a loose quotation of, or reference to, 1 Pet., iv., 8. Dr. DAVIDSON (Treatise on Biblical Criticism) remarks, not without reason, that the early fathers, generally, seldom use literal citations. "Though phrases and expressions occur in them which coincide with the language of the New Testament, they are merely reminiscences of the latter." From this cause, of course, they can less assist in nice questions as to the state of the text in their day: though still they do assist—sometimes citing long passages, in general agreement with our present reading. Their veneration for the spirit above the words, may have had to do with their apparent habit of contenting themselves with quoting from memory.

[2] *i.e.*, "*τοὺς ἀποπεπλανημένους*, nisi forte *πρόβατα* intelligatur."—JUNIUS.

"προνοοῦντες ἀεὶ τοῦ καλοῦ ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων,"[1] ἀπεχόμενοι πάσης ὀργῆς, προσωποληψίας, κρίσεως ἀδίκου· μακρὰν ὄντες πάσης φιλαργυρίας. μὴ ταχέως πιστεύοντες κατά τινος· μὴ ἀπότομοι ἐν κρίσει, εἰδότες ὅτι πάντες ὀφειλέται ἐσμὲν ἁμαρτίας. Εἰ οὖν δεόμεθα τοῦ κυρίου, ἵνα ἡμῖν ἀφῇ, ὀφείλομεν καὶ ἡμεῖς ἀφιέναι· ἀπέναντι γὰρ τῶν τοῦ κυρίου καὶ Θεοῦ ἐσμεν ὀφθαλμῶν, καὶ "πάντας δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ, καὶ ἕκαστον ὑπὲρ ἑαυτοῦ λόγον δοῦναι." Οὕτως οὖν δουλεύσωμεν αὐτῷ μετὰ φόβου καὶ πάσης εὐλαβείας, καθὼς αὐτὸς ἐνετείλατο, καὶ οἱ εὐαγγελισάμενοι ἡμῖν[2] ἀπόστολοι, καὶ οἱ προφῆται, οἱ προκηρύξαντες τὴν ἔλευσιν τοῦ κυρίου ἡμῶν· ζηλωταὶ περὶ τὸ καλὸν, ἀπεχόμενοι τῶν σκανδάλων καὶ τῶν ψευδαδέλφων καὶ τῶν ἐν ὑποκρίσει φερόντων τὸ ὄνομα τοῦ Κυρίου, οἵτινες ἀποπλανῶσι κενοὺς ἀνθρώπους.

VII.

"Πᾶς γὰρ, ὃς ἂν μὴ ὁμολογῇ, Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι, ἀντίχριστός ἐστι·" καὶ ὃς ἂν μὴ ὁμολογῇ τὸ μαρτύριον τοῦ σταυροῦ, ἐκ τοῦ διαβόλου ἐστί· καὶ ὃς ἂν μεθοδεύῃ τὰ λόγια τοῦ Κυρίου πρὸς τὰς ἰδίας ἐπιθυμίας, καὶ λέγῃ, μήτε ἀνάστασιν μήτε κρίσιν εἶναι, οὗτος πρωτότοκός ἐστι τοῦ Σατανᾶ.[3] Διὸ ἀπολείποντες τὴν ματαιότητα τῶν πολλῶν καὶ τὰς ψευδοδιδασκαλίας, ἐπὶ τὸν ἐξ ἀρχῆς ἡμῖν παραδοθέντα λόγον ἐπιστρέψωμεν, "νήφοντες πρὸς τὰς εὐχὰς," καὶ προσκαρτεροῦντες νηστείαις, δεήσεσιν αἰτούμενοι τὸν παντεπόπτην Θεὸν, μὴ εἰσενεγκεῖν ἡμᾶς εἰς πειρασμὸν, καθὼς εἶπεν ὁ Κύριος· "τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής."

---

[1] Prov. iii., 4; (Sept.) or Rom., xii., 17, *προνοούμενοι καλά*. The verb is used with the gen. in Josephus' Antiq., IX., i. where *προν.* is for *πρόνοιαν ποιεῖσθαι*,—BLOOMFIELD.

[2] Some read *ἡμᾶς*.

[3] Eusebius, from Irenæus, relates that Polycarp so addressed Marcion, when the latter, meeting him, desired his brotherly recognition:—"Sibi etc. *ἐπιγίνωσκε ἡμᾶς*. (Agnosce nos) Agnosco te primogenitum Satanæ." "Adeò religiosè cavebant (adds Eusebius) apostoli eorumque discipuli, ne vel sermone tenus miscerentur cum ullo eorum qui veritatem adulterabant."

VIII.

Ἀδιαλείπτως οὖν προσκαρτερῶμεν τῇ ἐλπίδι ἡμῶν καὶ τῷ ἀῤῥαβῶνι τῆς δικαιοσύνης ἡμῶν, ὅς ἐστι Χριστὸς Ἰησοῦς, "ὃς ἀνήνεγκεν ἡμῶν τὰς ἁμαρτίας τῷ ἰδίῳ σώματι ἐπὶ τὸ ξύλον, "ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ·" ἀλλὰ δἰ ἡμᾶς, ἵνα ζήσωμεν ἐν αὐτῷ, πάντα ὑπέμεινε. Μιμηταὶ οὖν γενώμεθα τῆς ὑπομονῆς αὐτοῦ· καὶ ἐὰν πάσχωμεν διὰ τὸ ὄνομα αὐτοῦ, δοξάζωμεν αὐτὸν. Τοῦτον γὰρ ἡμῖν τὸν ὑπογραμμὸν ἔθηκε δἰ ἑαυτοῦ, καὶ ἡμεῖς τοῦτο ἐπιστεύσαμεν.

XIII.

Ἐγράψατέ μοι καὶ ὑμεῖς καὶ Ἰγνάτιος, ἵνα, ἐάν τις ἀπέρχηται εἰς Συρίαν, καὶ τὰ παρ᾽ ὑμῶν ἀποκομίσῃ γράμματα· ὅπερ ποιήσω, ἐὰν λάβω καιρὸν εὔθετον, εἴτε ἐγὼ, εἴτε ὃν πέμψω πρεσβεύσοντα καὶ περὶ ὑμῶν. Τὰς ἐπιστολὰς Ἰγνατίου[1] τὰς πεμφθείσας ἡμῖν ὑπ᾽ αὐτοῦ, καὶ ἄλλας, ὅσας εἴχομεν παρ᾽ ἡμῖν, ἐπέμψαμεν ὑμῖν, καθὼς ἐνετείλασθε· αἵτινες ὑποτεταγμέναι εἰσὶ τῇ ἐπιστολῇ ταύτῃ· ἐξ ὧν μεγάλα ὠφεληθῆναι δυνήσεσθε. Περιέχουσι γὰρ πίστιν καὶ ὑπομονὴν καὶ πᾶσαν οἰκοδομὴν, τὴν εἰς τὸν κύριον ἡμῶν ἀνήκουσαν.

---

[1] Meaning two Epistles of Ignatius; one to Polycarp, another to the Church at Smyrna.—COTELER.

IV. THE EPISTLE TO DIOGNETUS.

This very ancient and beautiful document is anonymous. Nor is it known who Diognetus was—the party addressed—further than that he seems to have been a Pagan of distinction. Some have ascribed the work to Clement; others to Justin Martyr. Otto of Jena, in his late edition of the Epistle, has not hesitated to give it under Justin's name. Neander, Hefele, and Gaussen, think it older. From allusions in it to great contemporary persecutions, and the rapid increase of the Church, they assign it with probability to the end of Trajan's reign, or the beginning of Hadrian's. The piece is an admirable one, and it may be ranked with "the apologies." In a similar strain with Justin and Tertullian and Minucius Felix, the writer assails the idolatries of the Gentiles, and the superstition of the Jew; vindicates the morality of the Christians; and commends the Gospel to Diognetus, at once for its tendency to promote holiness and happiness. The work is interesting, like those other early documents, for the references made to our received Scriptures, and its decided recognition of some of the leading and most precious articles of our faith.

Η ΠΡΟΣ ΔΙΟΓΝΗΤΟΝ ΕΠΙΣΤΟΛΗ.

I.

Ἐπειδὴ ὁρῶ, κράτιστε Διόγνητε, ὑπερεσπουδακότα σε τὴν θεοσέβειαν τῶν Χριστιανῶν μαθεῖν, καὶ πάνυ σαφῶς καὶ ἐπιμελῶς πυνθανόμενον περὶ αὐτῶν, τίνι τε Θεῷ πεποιθότες, καὶ πῶς θρησκεύοντες, αὐτόν τε κόσμον ὑπερορῶσι πάντες, καὶ θανάτου καταφρονοῦσι, καὶ οὔτε τοὺς νομιζομένους ὑπὸ τῶν Ἑλλήνων θεοὺς λογίζονται, οὔτε τὴν Ἰουδαίων δεισιδαιμονίαν φυλάσσουσι, καὶ τίνα τὴν φιλοστοργίαν ἔχουσι πρὸς ἀλλήλους, καί τί δή ποτε καινὸν[1] τοῦτο γένος ἢ ἐπιτήδευμα εἰσῆλθεν εἰς τὸν βίον νῦν, καὶ οὐ πρότερον· ἀποδέχομαί γε τῆς προθυμίας σε ταύτης, καὶ παρὰ τοῦ Θεοῦ, τοῦ καὶ τὸ λέγειν καὶ τὸ ἀκούειν ἡμῖν χορηγοῦντος, αἰτοῦμαι δοθῆναι, ἐμοὶ μὲν, εἰπεῖν οὕτως, ὡς μάλιστα ἂν ἀκοῦσαί σε βελτίω γενέσθαι· σοί τε, οὕτως ἀκοῦσαι, ὡς μὴ λυπηθῆναι τὸν εἰπόντα.

II.

Ἄγε δὴ, καθάρας σεαυτὸν ἀπὸ πάντων τῶν προκατεχόντων σου τὴν διάνοιαν λογισμῶν, καὶ τὴν ἀπατῶσάν σε συνήθειαν ἀποσκευασάμενος, καὶ γενόμενος, ὥσπερ ἐξ ἀρχῆς, καινὸς ἄνθρωπος, ὡς ἂν καὶ λόγου καινοῦ, καθάπερ καὶ αὐτὸς ὡμολόγησας, ἀκροατὴς ἐσόμενος· ἴδε[2] μὴ μόνον τοῖς ὀφθαλμοῖς, ἀλλὰ καὶ τῇ φρονήσει, τίνος ὑποστάσεως, ἢ τίνος εἴδους τυγχάνουσιν, οὓς ἐρεῖτε καὶ νομίζετε θεούς. Οὐχ ὁ μέν τις λίθος ἐστὶν, ὅμοιος τῷ πατουμένῳ; Ὁ δ' ἐστὶ χαλκὸς, οὐ κρείσσων τῶν εἰς τὴν χρῆσιν ἡμῖν κεχαλκευμένων σκευῶν· ὁ δὲ ξύλον, ἤδη καὶ σεσηπός· ὁ δὲ ἄργυρος, χρῄζων ἀνθρώπου

---

[1] καινὸν.—This is thought to prove early date.

[2] ἴδε Hellenistic form for ἰδὲ.—WINER.

τοῦ φυλάξαντος,[1] ἵνα μὴ κλαπῇ· ὁ δὲ σίδηρος, ὑπὸ ἰοῦ διεφθαρμένος. ὁ δὲ ὄστρακον, οὐδὲν τοῦ κατεσκευασμενου προς τὴν ἀτιμοτάτην ὑπηρεσίαν εὐπρεπέστερον. Οὐ φθαρτῆς ὕλης ταῦτα πάντα; Οὐχ ὑπὸ σιδήρου καὶ πυρὸς κεχαλκευμένα; Οὐχ ὃ μὲν αὐτῶν λιθοξόος, ὁ δὲ χαλκεὺς, ὁ δὲ ἀργυροκόπος, ὁ δὲ κεραμεὺς ἔπλασεν; Οὐ πρὶν ἢ ταῖς τέχναις τούτων εἰς τὴν μορφὴν τούτων ἐκτυπωθῆναι, ἦν ἕκαστον αὐτῶν ἑκάστῳ, ἔτι καὶ νῦν, μεταμεμορφωμένον; Οὐ τὰ νῦν ἐκ τῆς αὐτῆς ὕλης ὄντα σκεύη γένοιτ' ἂν, εἰ τύχοι τῶν αὐτῶν τεχνιτῶν, ὅμοια τοιούτοις; Οὐ ταῦτα πάλιν, τὰ νῦν ὑφ' ὑμῶν προσκυνούμενα, δύναιτ' ἂν ὑπὸ ἀνθρώπων σκεύη ὅμοια γενέσθαι τοῖς λοιποῖς; Οὐ κωφὰ πάντα; Οὐ τυφλά; Οὐκ ἄψυχα; Οὐκ ἀναίσθητα; Οὐκ ἀκίνητα; Οὐ πάντα σηπόμενα; Οὐ πάντα φθειρόμενα; Ταῦτα θεοὺς καλεῖτε, τούτοις δουλεύετε, τούτοις προσκυνεῖτε, τέλεον[2] δ' αὐτοῖς ἐξομοιοῦσθε, Διὰ τοῦτο μισεῖτε Χριστιανοὺς, ὅτι τούτους οὐχ ἡγοῦνται θεούς. Ὑμεῖς γὰρ, οἱ νῦν νομίζοντες καὶ οἰόμενοι, οὐ πολὺ πλέον αὐτῶν καταφρονεῖτε; Οὐ πολὺ μᾶλλον αὐτοὺς χλευάζετε καὶ ὑβρίζετε, τοὺς μὲν λιθίνους καὶ ὀστρακίνους σέβοντες ἀφυλάκτως, τοὺς δὲ ἀργυρέους καὶ χρυσοῦς ἐγκλείοντες ταῖς νυξὶ, καὶ ταῖς ἡμέραις φύλακας παρακαθίσαντες, ἵνα μὴ κλαπῶσιν; Αἷς δὲ δοκεῖτε τιμαῖς προσφέρειν, εἰ μὲν αἰσθάνονται, κολάζετε μᾶλλον αὐτούς. εἰ δὲ ἀναισθητοῦσιν, ἐλέγχοντες αἵματι καὶ κνίσαις αὐτοὺς θρησκεύετε.[3] Ταῦθ' ὑμῶν τις ὑπομεινάτω. Ταῦτα, ἀνασχέσθω τις ἑαυτῷ γενέσθαι. Ἀλλὰ ἄνθρωπος μὲν οὐδὲ εἷς ταύτης τῆς κολάσεως ἑκὼν ἀνέξεται (αἴσθησιν γὰρ ἔχει καὶ λογισμόν)· ὁ δὲ λίθος ἀνέχεται, ἀναισθητεῖ γάρ. Οὔκουν τὴν αἴσθησιν αὐτοῦ ἐλέγχετε. Περὶ μὲν οὖν τοῦ μὴ δεδουλῶσθαι Χριστιανοὺς τοιούτοις θεοῖς, πολλὰ μὲν καὶ ἄλλα εἰπεῖν ἔχοιμι· εἰ δὲ τινι μὴ δοκοίη ταῦτα ἱκανὰ, περισσὸν ἡγοῦμαι καὶ τὸ πλείω λέγειν.

---

[1] JUSTIN (Apol. I.) says, ἀθέμιτον καὶ τὸ νοεῖν ἢ λέγειν ἀνθρώπους θεῶν εἶναι φύλακας.

[2] Evident allusion to Psa. cxv., 8; τέλεον same as τελέως, plane; prorsus.

[3] ἐλέγχοντες—Accuratius scripsisset auctor; ἐλέγχετε — θρησκεύοντες: (i.e., hujus rei,) eos convincitis, sanguine et nidoribus eos colentes.—BOEHL. and HEFELE.

V.

Χριστιανοὶ γὰρ οὔτε γῇ, οὔτε φωνῇ, οὔτε ἔθεσι διακεκριμένοι τῶν λοιπῶν εἰσιν ἀνθρώπων. Οὔτε γάρ που πόλεις ἰδίας κατοικοῦσιν, οὔτε διαλέκτῳ τινὶ παρηλλαγμένῃ χρῶνται, οὔτε βίον παράσημον ἀσκοῦσιν, Οὐ μὴν ἐπινοίᾳ τινὶ καὶ φροντίδι πολυπραγμόνων ἀνθρώπων μάθημα τοῦτ' αὐτοῖς ἐστιν εὑρημένον,[1] οὐδὲ δόγματος ἀνθρωπίνου προεστᾶσιν, ὥσπερ ἔνιοι. Κατοικοῦντες δὲ πόλεις Ἑλληνίδας τε καὶ βαρβάρους, ὡς ἕκαστος ἐκληρώθη, καὶ τοῖς ἐγχωρίοις ἔθεσιν ἀκολουθοῦντες ἔν τε ἐσθῆτι καὶ διαίτῃ καὶ τῷ λοιπῷ βίῳ, θαυμαστὴν καὶ ὁμολογουμένως παράδοξον ἐνδείκνυνται τὴν κατάστασιν τῆς ἑαυτῶν πολιτείας. Πατρίδας οἰκοῦσιν ἰδίας, ἀλλ' ὡς πάροικοι. Μετέχουσι πάντων ὡς πολῖται· καὶ πάνθ' ὑπομένουσιν ὡς ξένοι. Πᾶσα ξένη πατρίς ἐστιν αὐτῶν, καὶ πᾶσα πατρὶς ξένη, Γαμοῦσιν ὡς πάντες, τεκνογονοῦσιν· ἀλλ' οὐ ῥίπτουσι τὰ γεννώμενα. Τράπεζαν κοινὴν παρατίθενται, ἀλλ' οὐ κοίτην κοινήν. Ἐν σαρκὶ τυγχάνουσιν, ἀλλ' οὐ κατὰ σάρκα ζῶσιν. Ἐπὶ γῆς διατρίβουσιν, ἀλλ' ἐν οὐρανῷ πολιτεύονται. Πείθονται τοῖς ὡρισμένοις νόμοις, καὶ τοῖς ἰδίοις βίοις νικῶσι τοὺς νόμους. Ἀγαπῶσι πάντας, καὶ ὑπὸ πάντων διώκονται. Ἀγνοοῦνται, καὶ κατακρίνονται· θανατοῦνται, καὶ ζωοποιοῦνται· πτωχεύουσι, καὶ πλουτίζουσι πολλούς· πάντων ὑστεροῦνται, καὶ ἐν πᾶσι περισσεύουσιν· ἀτιμοῦνται, καὶ ἐν ταῖς ἀτιμίαις δοξάζονται· βλασφημοῦνται, καὶ δικαιοῦνται· λοιδοροῦνται, καὶ εὐλογοῦσιν· ὑβρίζονται, καὶ τιμῶσιν· ἀγαθοποιοῦντες, ὡς κακοὶ κολάζονται· κολαζόμενοι χαίρουσιν, ὡς ζωοποιούμενοι· ὑπὸ Ἰουδαίων ὡς ἀλλόφυλοι πολεμοῦνται, καὶ ὑπὸ Ἑλλήνων διώκονται· καὶ τὴν αἰτίαν τῆς ἔχθρας εἰπεῖν οἱ μισοῦντες οὐκ ἔχουσιν,

VII.

Οὐ γὰρ ἐπίγειον, ὡς ἔφην, εὕρημα τοῦτ' αὐτοῖς παρεδόθη, οὐδὲ θνητὴν ἐπίνοιαν φυλάσσειν οὕτως ἀξιοῦσιν ἐπιμελῶς, οὐδὲ ἀνθρωπίνων οἰκονομίαν μυστηρίων πεπίστευνται· ἀλλ'

[1] εἰρημένον.—This reading preferred by OTTO, as if meaning nuntiatum.

αὐτὸς ἀληθῶς ὁ παντοκράτωρ καὶ παντοκτίστης καὶ ἀόρατος Θεὸς, αὐτὸς ἀπ' οὐρανῶν τὴν ἀλήθειαν καὶ τὸν Λόγον τὸν ἅγιον καὶ ἀπερινόητον ἀνθρώποις ἐνίδρυσε, καὶ ἐγκατεστήριξε ταῖς καρδίαις αὐτῶν· οὐ, καθάπερ ἄν τις εἰκάσειεν, ἀνθρώποις ὑπηρέτην τινὰ πέμψας, ἢ ἄγγελον, ἢ ἄρχοντα, ἤ τινα τῶν διεπόντων τὰ ἐπίγεια, ἤ τινα τῶν πεπιστευμένων τὰς ἐν οὐρανοῖς διοικήσεις, ἀλλ' αὐτὸν τὸν τεχνίτην καὶ δημιουργὸν τῶν ὅλων, ᾧ τοὺς οὐρανοὺς ἔκτισεν, ᾧ τὴν θάλασσαν ἰδίοις ὅροις ἐνέκλεισεν· οὗ τὰ [1] μυστήρια πιστῶς πάντα φυλάσσει τὰ στοιχεῖα· [2] παρ' οὗ τὰ μέτρα τῶν τῆς ἡμέρας δρόμων εἴληφε ὁ ἥλιος φυλάσσειν· ᾧ πειθαρχεῖ σελήνη νυκτὶ φαίνειν κελεύοντι· ᾧ πειθαρχεῖ τὰ ἄστρα, τῷ τῆς σελήνης ἀκολουθοῦντα δρόμῳ· ᾧ πάντα διατέτακται καὶ διώρισται καὶ ὑποτέτακται, οὐρανοὶ καὶ τὰ ἐν τοῖς οὐρανοῖς, γῆ καὶ τὰ ἐν τῇ γῇ, θάλασσα καὶ τὰ ἐν τῇ θαλάσσῃ, πῦρ, ἀὴρ, ἄβυσσος, τὰ ἐν ὕψεσι, τὰ ἐν βάθεσι, τὰ ἐν τῷ μεταξύ. Τοῦτον πρὸς αὐτοὺς ἀπέστειλεν. Ἆρά γε, ὡς ἀνθρώπων ἄν τις λογίσαιτο, ἐπὶ τυραννίδι καὶ φόβῳ καὶ καταπλήξει; Οὐ μενοῦν· ἀλλ' ἐν ἐπιεικείᾳ, πραΰτητι. Ὡς βασιλεὺς πέμπων υἱὸν βασιλέα ἔπεμψεν· ὡς Θεὸν ἔπεμψεν, ὡς πρὸς ἀνθρώπους ἔπεμψεν, ὡς σώζων ἔπεμψεν, ὡς πείθων, οὐ βιαζόμενος· βία γὰρ οὐ πρόσεστι τῷ Θεῷ. Ἔπεμψεν ὡς καλῶν, οὐ διώκων· ἔπεμψεν ὡς ἀγαπῶν, οὐ κρίνων. Πέμψει γὰρ αὐτὸν κρίνοντα· καὶ τίς αὐτοῦ τὴν παρουσίαν ὑποστήσεται; Οὐχ ὁρᾷς παραβαλλομένους θηρίοις, ἵνα ἀρνήσωνται τὸν κύριον, καὶ μὴ νικωμένους; Οὐχ ὁρᾷς, ὅσῳ πλείονες κολάζονται, τοσούτῳ πλεονάζοντας ἄλλους; Ταῦτα ἀνθρώπου οὐ δοκεῖ τὰ ἔργα· ταῦτα δύναμίς ἐστι Θεοῦ· ταῦτα τῆς παρουσίας αὐτοῦ δείγματα.

VIII.

Τίς γὰρ ὅλως ἀνθρώπων ἠπίστατο, τί ποτ' ἐστὶ Θεὸς, πρὶν αὐτὸν ἐλθεῖν; Ἢ τοὺς κενοὺς καὶ ληρώδεις ἐκείνων λόγους ἀποδέχῃ τῶν ἀξιοπίστων φιλοσόφων; Ὧν οἱ μέν τινες πῦρ ἔφασαν εἶναι τὸν Θεὸν, οὗ μέλλουσι χωρήσειν αὐτοὶ,

---

[1] *i.e.*, Leges, quibus creator rerum naturam moderatur, quæque hominum intellectum latent.—BOEHL. [2] *στοιχεῖα*, elements or constellations.

τοῦτο καλοῦσι Θεόν· οἱ δὲ ὕδωρ· οἱ δὲ ἄλλο τι τῶν στοιχείων τῶν ἐκτισμένων ὑπὸ Θεοῦ. * * * * * * * * * *

IX.

Μέχρι μὲν οὖν τοῦ πρόσθεν χρόνου[1] εἴασεν ἡμᾶς, ὡς ἐβουλόμεθα, ἀτάκτοις φοραῖς φέρεσθαι, ἡδοναῖς καὶ ἐπιθυμίαις ἀγομένους· οὐ πάντως ἐφηδόμενος τοῖς ἁμαρτήμασιν ἡμῶν, ἀλλ' ἀνεχόμενος· οὐδὲ τῷ τότε τῆς ἀδικίας καιρῷ συνευδοκῶν, ἀλλὰ τὸν νοῦν[2] τῆς δικαιοσύνης δημιουργῶν· ἵνα ἐν τῷ τότε χρόνῳ ἐλεγχθέντες ἐκ τῶν ἰδίων ἔργων ἀνάξιοι ζωῆς, νῦν ὑπὸ τῆς τοῦ Θεοῦ χρηστότητος ἀξιωθῶμεν· καὶ τὸ καθ' ἑαυτοὺς φανερώσαντες ἀδύνατον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, τῇ δυνάμει τοῦ Θεοῦ δυνατοὶ γενηθῶμεν. Ἐπεὶ δὲ πεπλήρωτο μὲν ἡ ἡμετέρα ἀδικία, καὶ τελείως πεφανέρωτο, ὅτι ὁ μισθὸς αὐτῆς κόλασις καὶ θάνατος προσεδοκᾶτο, ἦλθε δὲ ὁ καιρὸς, ὃν Θεὸς προέθετο λοιπὸν φανερῶσαι τὴν ἑαυτοῦ χρηστότητα καὶ δύναμιν, ὡς τῆς ὑπερβαλλούσης φιλανθρωπίας μία ἀγάπη τοῦ Θεοῦ, οὐκ ἐμίσησεν ἡμᾶς, οὐδὲ ἀπώσατο, οὐδὲ ἐμνησικάκησεν, ἀλλὰ ἐμακροθύμησεν, ἠνέσχετο, αὐτὸς τὰς ἡμετέρας ἁμαρτίας ἀνεδέξατο· αὐτὸς τὸν ἴδιον υἱὸν ἀπέδοτο λύτρον ὑπὲρ ἡμῶν, τὸν ἅγιον ὑπὲρ ἀνόμων, τὸν ἄκακον ὑπὲρ τῶν κακῶν, τὸν δίκαιον ὑπὲρ τῶν ἀδίκων, τὸν ἄφθαρτον ὑπὲρ τῶν φθαρτῶν, τὸν ἀθάνατον ὑπὲρ τῶν θνητῶν. Τί γὰρ ἄλλο τὰς ἁμαρτίας ἡμῶν ἠδυνήθη καλύψαι ἢ ἐκείνου δικαιοσύνη; Ἐν τίνι δικαιωθῆναι δυνατὸν τοὺς ἀνόμους ἡμᾶς καὶ ἀσεβεῖς, ἢ ἐν μόνῳ τῷ υἱῷ τοῦ Θεοῦ; Ὢ τῆς γλυκείας ἀνταλλαγῆς, ὢ τῆς ἀνεξιχνιάστου δημιουργίας, ὢ τῶν ἀπροσδοκήτων εὐεργεσιῶν· ἵνα ἀνομία μὲν πολλῶν ἐν δικαίῳ ἑνὶ κρυβῇ, δικαιοσύνη δὲ ἑνὸς πολλοὺς ἀνόμους δικαιώσῃ. Ἐλέγξας οὖν ἐν μὲν τῷ πρόσθεν χρόνῳ τὸ ἀδύνατον τῆς ἡμετέρας φύσεως εἰς τὸ τυχεῖν ζωῆς, νῦν δὲ τὸν σωτῆρα δείξας, δυνατὸν σώζειν καὶ τὰ ἀδύνατα, ἐξ ἀμφοτέρων ἐβουλήθη πιστεύειν ἡμᾶς τῇ χρηστότητι αὐτοῦ, αὐτὸν ἡγεῖσθαι τροφέα, πατέρα, διδάσκαλον, σύμβουλον, ἰατρὸν, νοῦν, φῶς, τιμὴν, δόξαν, ἰσχὺν, ζωήν· περὶ ἐνδύσεως καὶ τροφῆς μὴ μεριμνᾷν.

---

[1] *i.e.*, Before the time of the Advent: see below, *εν χρόνῳ*.

[2] A better reading is *τὸν νῦν*.—OTTO.

X.

Ταύτην καὶ σὺ τὴν πίστιν ἐὰν ποθήσῃς,[1] καὶ λάβῃς πρῶτον μὲν ἐπίγνωσιν πατρός. Ὁ γὰρ Θεὸς τοὺς ἀνθρώπους ἠγάπησε, δι' οὓς ἐποίησε τὸν κόσμον, οἷς ὑπέταξε πάντα τὰ ἐν αὐτῷ, οἷς λόγον[2] ἔδωκεν, οἷς νοῦν, οἷς μόνοις ἄνω πρὸς αὐτὸν ὁρᾷν ἐπέτρεψεν, οὓς ἐκ τῆς ἰδίας εἰκόνος ἔπλασε, πρὸς οὓς ἀπέστειλε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, οἷς τὴν ἐν οὐρανῷ βασιλείαν ἐπηγγείλατο, καὶ δώσει τοῖς ἀγαπήσασιν αὐτόν. Ἐπιγνοὺς[3] δὲ, τίνος οἴει πληρωθήσεσθαι χαρᾶς; Ἢ πῶς ἀγαπήσεις τὸν οὕτως προαγαπήσαντά σε; Ἀγαπήσας δὲ, μιμητὴς ἔσῃ αὐτοῦ τῆς χρηστότητος. Καὶ μὴ θαυμάσῃς, εἰ δύναται μιμητὴς ἄνθρωπος γενέσθαι Θεοῦ. Δύναται, θέλοντος αὐτοῦ. Οὐ γὰρ τὸ καταδυναστεύειν τῶν πλησίον, οὐδὲ τὸ πλέον ἔχειν βούλεσθαι τῶν ἀσθενεστέρων, οὐδὲ τὸ πλουτεῖν καὶ βιάζεσθαι τοὺς ὑποδεεστέρους, εὐδαιμονεῖν ἐστιν· οὐδὲ ἐν τούτοις δύναταί τις μιμήσασθαι Θεόν. Ἀλλὰ ταῦτα ἐκτὸς τῆς ἐκείνου μεγαλειότητος. Ἀλλ' ὅστις τὸ τοῦ πλησίον ἀναδέχεται βάρος, ὃς, ἐν ᾧ κρείσσων ἐστὶν, ἕτερον τὸν ἐλαττούμενον εὐεργετεῖν ἐθέλει, ὅσα[4] παρὰ τοῦ Θεοῦ λαβὼν ἔχει, ταῦτα τοῖς ἐπιδεομένοις χορηγῶν, Θεὸς γίνεται τῶν λαμβανόντων· οὗτος μιμητής ἐστι Θεοῦ. Τότε θεάσῃ τυγχάνων ἐπί γῆς, ὅτι Θεὸς ἐν οὐρανοῖς πολιτεύεται· τότε μυστήρια Θεοῦ λαλεῖν ἄρξῃ· τότε τοὺς κολαζομένους ἐπὶ τῷ μὴ θέλειν ἀρνήσασθαι Θεὸν καὶ ἀγαπήσεις καὶ θαυμάσεις· τότε τῆς ἀπάτης τοῦ κόσμου καὶ τῆς πλάνης καταγνώσῃ, ὅταν τὸ ἀληθῶς ἐν οὐρανῷ ζῆν ἐπιγνώσῃ, ὅταν τοῦ δοκοῦντος ἐνθάδε θανάτου καταφρονήσῃς, ὅταν τὸν ὄντως θάνατον φοβηθῇς, ὃς φυλάσσεται τοῖς κατακριθησομένοις εἰς τὸ πῦρ τὸ αἰώνιον, ὃ τοὺς παραδοθέντας αὐτῷ μέχρι τέλους κολάσει. Τότε τοὺς ὑπομένοντας ὑπὲρ δικαιοσύνης θαυμάσεις τὸ πῦρ τὸ πρόσκαιρον, καὶ μακαρίσεις, ὅταν ἐκεῖνο τὸ πῦρ ἐπιγνῷς.[5] .

---

[1] Or ποθῇς—Stephanus notat dubium esse, utrum ποθῇς an ποθήσῃς in codice legatur.—OTTO.

[2] λόγον, means "reason" here.

[3] Ἐπιγνοὺς. Scil. τὸν πατέρα—OTTO.

[4] Or read ὃς ἃ.

[5] The early fathers—before ORIGEN—were unanimous in holding the doctrine of eternal punishment.

V. JUSTIN MARTYR.

Justin, surnamed the Philosopher and Martyr, flourished in the middle of the second century. His history is very interesting. A Grecian by birth, of the city of Neapolis, in Palestine, anciently called Sichem, he had applied himself to the study of philosophy, and run the round of the schools; first, a disciple of the Stoics, then of the Peripatetics, next a Pythagorean, and finally captivated with Platonism; but withal unsatisfied, his spirit still restlessly anxious on the first and greatest questions of a first cause, and of human destiny. Providentially, when in this state of mind, he was met by an aged stranger, who entered into conversation with him, and directed his attention to the inspired writings. The result was his embracing Christianity, and employing his well-disciplined powers in its defence; still wearing, as he did, the philosopher's garb. His best known and authenticated works are his two Apologies, and his conversation with one Trypho (or Tryphon), a Jew. He also wrote a work against Marcion. His views, somewhat Platonic, on the "Logos," are of interest to the Theological inquirer. All his writings shew much learning, though as an apologist, as might be expected, he is more powerful in his vindication of the Christian cause with the Greeks than with the Jews, to whose language and rites he was more a stranger. His first apology, containing an elaborate refutation of the charges brought against Christianity, was addressed to the Emperor Antoninus Pius, and the Roman Senate and people. It was not without success in obtaining a relaxation of the severities practised against the Christians. His second, addressed after an interval of many years to Marcus Aurelius, shews that all the philosophy and lauded virtues of the second of the Antonines, could not induce a

full toleration of the religion of Jesus. Under his reign Justin fell a victim to the persecuting rage of the governors and the multitude, goaded on, it is said, by the Cynic philosopher Crescens. The martyr was beheaded in 167, or a year or two earlier. His courageous confession before the Roman prefect is more fully given than in Eusebius, in the "Acta sincera Martyrum," a work published by Ruinart, and commended by Jortin and Mosheim. The piece relating to Justin and his companions, who suffered with him, was finely translated by Lord Hailes.—(See Remains of Christian Antiquity: Edinburgh, 1778.)

From the views brought out especially in the Apologies, Neander regards Justin as the precursor of the Alexandrian Theology developed by Clement (Al.) and Origen. Our first extract is from the dialogue with Trypho; it begins where Justin is reciting to Trypho the conversation which he had held with the stranger—the *παλαιός τις πρεσβύτης*—whom he met in the course of his perambulations. There they discourse of the Platonic philosophy, and of what reason teaches of a first cause, the capacities of the soul, a future state of retribution, &c. Who this stranger was, is not known. Justin describes him as courteous and venerable; *ἰδέσθαι οὐκ εὐκαταφρόνητος, πρᾷον καὶ σεμνὸν ἦθος ἐμφαίνων.* He succeeded in modifying Justin's admiration of Plato and Pythagoras; his interesting disciple having found now, as he tells us, "the true philosophy."

The Dialogue, though distinguished from the "Apologies" of Justin, is yet in effect an Apology also, and finely illustrates the position that Christianity came to man's relief, just after philosophy had done its most, and was proved inadequate. "The world by wisdom knew not God."

The doubts of the authenticity of this work, raised by Koch, Semler, and others, have been fully examined and refuted by Münscher, Rosenmüller, and Semisch. (See Gieseler I., p. 48, note.]

ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΣΤΙΝΟΥ

ΠΡΟΣ ΤΡΥΦΩΝΑ ΙΟΥΔΑΙΟΝ ΔΙΑΛΟΓΟΣ.

---

*   *   *   *   *   *   *   *

Ἆρα τοιοῦτόν ἐστιν ὃ λέγεις, οἷον καὶ Πλάτων ἐν Τιμαίῳ αἰνίσσεται περὶ τοῦ κόσμου, λέγων ὅτι αὐτὸς μὲν καὶ φθαρτός ἐστιν ᾗ γέγονεν, οὐ λυθήσεται δὲ οὐδὲ τεύξεται θανάτου μοίρας διὰ τὴν βούλησιν τοῦ θεοῦ; Τοῦτ' αὐτό σοι δοκεῖ καὶ περὶ ψυχῆς καὶ ἁπλῶς πάντων πέρι λέγεσθαι; Ὅσα γάρ ἐστι μετὰ τὸν θεὸν ἢ ἔσται ποτέ, ταῦτα φύσιν φθαρτὴν ἔχειν, καὶ οἷά τε ἐξαφανισθῆναι καὶ μὴ εἶναι ἔτι· μόνος γὰρ ἀγέννητος καὶ ἄφθαρτος ὁ θεὸς καὶ διὰ τοῦτο θεός ἐστι, τὰ δὲ λοιπὰ πάντα μετὰ τοῦτον γεννητὰ καὶ φθαρτά. Τούτου χάριν καὶ ἀποθνήσκουσιν αἱ ψυχαὶ καὶ κολάζονται· ἐπεὶ εἰ ἀγέννητοι ἦσαν, οὔτ' ἂν ἐξημάρτανον οὔτε ἀφροσύνης ἀνάπλεῳ ἦσαν οὐδὲ δειλαὶ καὶ θρασεῖαι πάλιν, ἀλλ' οὐδὲ ἑκοῦσαι ποτὲ εἰς σύας ἐχώρουν καὶ ὄφεις καὶ κύνας, οὐδὲ μὴν ἀναγκάζεσθαι αὐτὰς θέμις, εἴπερ εἰσὶν ἀγέννητοι. Τὸ γὰρ ἀγέννητον τῷ ἀγεννήτῳ ὅμοιόν ἐστι καὶ ἴσον καὶ ταὐτόν, καὶ οὔτε δυνάμει οὔτε τιμῇ προκριθείη ἂν θατέρου τὸ ἕτερον, ὅθεν οὐδὲ πολλά ἐστι τὰ ἀγέννητα· εἰ γὰρ διαφορά τις ἦν ἐν αὐτοῖς, οὐκ ἂν εὕροις ἀναζητῶν τὸ αἴτιον τῆς διαφορᾶς, ἀλλ' ἐπ' ἄπειρον ἀεὶ τὴν διάνοιαν πέμπων ἐπὶ ἑνός ποτε στήσῃ ἀγεννήτου καμὼν καὶ τοῦτο φήσεις ἁπάντων αἴτιον. Εἴτε ἔλαθε, φημὶ ἐγώ, Πλάτωνα καὶ Πυθαγόραν σοφοὺς ἄνδρας, οἳ ὥσπερ τεῖχος ἡμῖν καὶ ἔρεισμα φιλοσοφίας ἐξεγένοντο;

6. Οὐδὲν ἐμοί, ἔφη, μέλει Πλάτωνος οὐδὲ Πυθαγόρου οὐδὲ ἁπλῶς οὐδενὸς ὅλως τοιαῦτα δοξάζοντος. Τὸ γὰρ ἀληθὲς οὕτως ἔχει· μάθοις δ' ἂν ἐντεῦθεν. Ἡ ψυχὴ ἤτοι ζωή ἐστιν ἢ ζωὴν ἔχει. Εἰ μὲν οὖν ζωή ἐστιν, ἄλλο τι ἂν ποιήσειε ζῆν, οὐχ ἑαυτήν, ὡς καὶ κίνησις ἄλλο τι κινήσειε μᾶλλον ἢ ἑαυτήν.

Ὅτι δὲ ζῇ ψυχή, οὐδεὶς ἀντείποι. Εἰ δὲ ζῇ, οὐ ζωὴ οὖσα ζῇ, ἀλλὰ μεταλαμβάνουσα τῆς ζωῆς· ἕτερον δέ τι τὸ μετέχον τινὸς ἐκείνου οὗ μετέχει. Ζωῆς δὲ ψυχὴ μετέχει, ἐπεὶ ζῆν αὐτὴν ὁ θεὸς βούλεται. Οὕτως ἄρα καὶ οὐ μεθέξει ποτέ, ὅταν αὐτὴν μὴ θέλοι ζῆν· οὐ γὰρ ἰδὶ αὐτῆς ἐστὶ τὸ ζῆν ὡς τοῦ θεοῦ, ἀλλὰ ὥσπερ ἄνθρωπος οὐ διαπαντός ἐστιν οὐδὲ σύνεστιν ἀεὶ τῇ ψυχῇ τὸ σῶμα, ἀλλ' ὅτε ἂν δέῃ λυθῆναι τὴν ἁρμονίαν ταύτην, καταλείπει ἡ ψυχὴ τὸ σῶμα, καὶ ὁ ἄνθρωπος οὐκ ἔστιν, οὕτως καί, ὅταν δέῃ τὴν ψυχὴν μηκέτι εἶναι, ἀπέστη ἀπ' αὐτῆς τὸ ζωτικὸν πνεῦμα, καὶ οὐκ ἔστιν ἡ ψυχὴ ἔτι, ἀλλὰ καὶ αὐτὴ ὅθεν ἐλήφθη ἐκεῖσε χωρεῖ πάλιν.

7. Τίνι οὖν, φημί, ἔτι τις χρήσαιτο διδασκάλῳ ἢ πόθεν ὠφεληθείη τις, εἰ μηδὲ ἐν τούτοις τὸ ἀληθές ἐστιν;

Ἐγένοντό τινες πρὸ πολλοῦ χρόνου πάντων τούτων τῶν νομιζομένων φιλοσόφων παλαιότεροι, μακάριοι, καὶ δίκαιοι, καὶ θεοφιλεῖς, θείῳ πνεύματι λαλήσαντες καὶ τὰ μέλλοντα θεσπίσαντες, ἃ δὴ νῦν γίνεται· προφήτας δὲ αὐτοὺς καλοῦσιν. Οὗτοι μόνοι τὸ ἀληθὲς καὶ εἶδον καὶ ἐξεῖπον ἀνθρώποις, μήτ' εὐλαβηθέντες μήτε δυσωπηθέντες τινά, μὴ ἡττημένοι δόξης, ἀλλὰ μόνα ταῦτα εἰπόντες ἃ ἤκουσαν καὶ ἃ εἶδον ἁγίῳ πληρωθέντες πνεύματι. Συγγράμματα δὲ αὐτῶν ἔτι καὶ νῦν διαμένει, καὶ ἔστιν ἐντυχόντα τούτοις πλεῖστον ὠφεληθῆναι καὶ περὶ ἀρχῶν, καὶ περὶ τέλους, καὶ ὧν χρὴ εἰδέναι τὸν φιλόσοφον, πιστεύσαντα ἐκείνοις. Οὐ γὰρ μετὰ ἀποδείξεως πεποίηνται τότε τοὺς λόγους, ἅτε ἀνωτέρω πάσης ἀποδείξεως ὄντες ἀξιόπιστοι μάρτυρες τῆς ἀληθείας· τὰ δὲ ἀποβάντα καὶ ἀποβαίνοντα ἐξαναγκάζει συντίθεσθαι τοῖς λελαλημένοις δι' αὐτῶν. Καίτοι γε καὶ διὰ τὰς δυνάμεις, ἃς ἐπετέλουν, πιστεύεσθαι δίκαιοι ἦσαν, ἐπειδὴ καὶ τὸν ποιητὴν τῶν ὅλων Θεὸν καὶ πατέρα ἐδόξαζον καὶ τὸν παρ' αὐτοῦ Χριστὸν υἱὸν αὐτοῦ κατήγγελλον, ὅπερ οἱ ἀπὸ τοῦ πλάνου καὶ ἀκαθάρτου πνεύματος ἐμπιπλάμενοι ψευδοπροφῆται οὔτε ἐποίησαν οὔτε ποιοῦσιν, ἀλλὰ δυνάμεις τινὰς ἐνεργεῖν εἰς κατάπληξιν τῶν ἀνθρώπων τολμῶσι καὶ τὰ τῆς πλάνης πνεύματα καὶ δαιμόνια δοξολογοῦσιν. Εὔχου δέ σοι πρὸ πάντων φωτὸς ἀνοιχθῆναι πύλας· οὐ γὰρ συνοπτὰ οὐδὲ συννοητὰ πᾶσίν ἐστιν, εἰ μή τῳ Θεὸς δῷ συνιέναι καὶ ὁ Χριστὸς αὐτοῦ.

8. Ταῦτα καὶ ἔτι ἄλλα πολλὰ εἰπὼν ἐκεῖνος, ἃ νῦν καιρὸς οὐκ ἔστι λέγειν, ᾤχετο, κελεύσας διώκειν αὐτά· καὶ οὐκ ἔτι αὐτὸν εἶδον· Ἐμοὶ δὲ παραχρῆμα πῦρ ἐν τῇ ψυχῇ ἀνήφθη, καὶ ἔρως εἶχέ με τῶν προφητῶν καὶ τῶν ἀνδρῶν ἐκείνων, οἵ εἰσι Χριστοῦ φίλοι· διαλογιζόμενός τε πρὸς ἐμαυτὸν τοὺς λόγους αὐτοῦ, ταύτην μόνην εὕρισκον φιλοσοφίαν ἀσφαλῆ τε καὶ σύμφορον. Οὕτως δὴ καὶ διὰ ταῦτα φιλόσοφος ἐγώ. Βουλοίμην δ' ἂν καὶ πάντας ἴσον ἐμοὶ θυμὸν ποιησαμένους μὴ ἀφίστασθαι τῶν τοῦ σωτῆρος λόγων· δέος γάρ τι ἔχουσιν ἐν ἑαυτοῖς, καὶ ἱκανοὶ δυσωπῆσαι τοὺς ἐκτρεπομένους τῆς ὀρθῆς ὁδοῦ, ἀνάπαυσίς τε ἡδίστη γίνεται τοῖς ἐκμελετῶσιν αὐτούς. Εἰ οὖν τι καὶ σοὶ περὶ σεαυτοῦ μέλει, καὶ ἀντιποιῇ σωτηρίας, καὶ ἐπὶ τῷ θεῷ πέποιθας, ἅπερ οὐκ ἀλλοτρίῳ τοῦ πράγματος, πάρεστιν ἐπιγνόντι σοι τὸν Χριστὸν τοῦ Θεοῦ καὶ τελείῳ γενομένῳ εὐδαιμονεῖν.

Ταῦτά μου, φίλτατε, εἰπόντος οἱ μετὰ τοῦ Τρύφωνος ἀνεγέλασαν, αὐτὸς δὲ ὑπομειδιάσας· Τὰ μὲν ἄλλα σου, φησίν, ἀποδέχομαι καὶ ἄγαμαι τῆς περὶ τὸ θεῖον ὁρμῆς, ἄμεινον δὲ ἦν φιλοσοφεῖν ἔτι σε τὴν Πλάτωνος ἢ ἄλλου του φιλοσοφίαν, ἀσκοῦντα καρτερίαν καὶ ἐγκράτειαν καὶ σωφροσύνην, ἢ λόγοις ἐξαπατηθῆναι ψευδέσι καὶ ἀνθρώποις ἀκολουθῆσαι οὐδενὸς ἀξίοις. Μένοντι γάρ σοι ἐν ἐκείνῳ τῷ τῆς φιλοσοφίας τρόπῳ καὶ ζῶντι ἀμέμπτως ἐλπὶς ὑπελείπετο ἀμείνονος μοίρας· καταλιπόντι δὲ τὸν θεὸν καὶ εἰς ἄνθρωπον ἐλπίσαντι ποία ἔτι περιλείπεται σωτηρία; Εἰ οὖν καὶ ἐμοῦ θέλεις ἀκοῦσαι (φίλον γάρ σε ἤδη νενόμικα), πρῶτον μὲν περιτεμοῦ, εἶτα φύλαξον, ὡς νενόμισται, τὸ σάββατον, καὶ τὰς ἑορτάς, καὶ τὰς νουμηνίας τοῦ θεοῦ, καὶ ἁπλῶς τὰ ἐν τῷ νόμῳ γεγραμμένα πάντα ποίει, καὶ τότε σοι ἴσως ἔλεος ἔσται παρὰ Θεοῦ. Χριστὸς δέ, εἰ καὶ γεγένηται, καὶ ἔστι που, ἄγνωστός ἐστι, καὶ οὐδὲ αὐτός πω ἑαυτὸν ἐπίσταται, οὐδὲ ἔχει δύναμίν τινα, μέχρις ἂν ἐλθὼν Ἠλίας χρίσῃ αὐτὸν, καὶ φανερὸν πᾶσι ποιήσῃ· ὑμεῖς δὲ ματαίαν ἀκοὴν παραδεξάμενοι, Χριστὸν ἑαυτοῖς τινὰ ἀναπλάσσετε, καὶ αὐτοῦ χάριν τα νῦν ἀσκόπως ἀπόλλυσθε.

9. Συγγνώμη σοι, ἔφην, ὦ ἄνθρωπε, καὶ ἀφεθείη σοι· οὐ γὰρ οἶδας ὃ λέγεις, ἀλλὰ πειθόμενος τοῖς διδασκάλοις, οἳ οὐ συνίασι τὰς γραφάς, καὶ ἀπομαντευόμενος λέγεις ὅ τι ἄν σοι

ἐπὶ θυμὸν ἔλθοι. Εἰ δὲ βούλοιο τούτου πέρι δέξασθαι λόγον, ὡς οὐ πεπλανήμεθα οὐδὲ παυσόμεθα ὁμολογοῦντες τοῦτον, κἂν τὰ ἐξ ἀνθρώπων ἡμῖν ἐπιφέρωνται ὀνείδη, κἂν ὁ δεινότατος ἀπειπεῖν ἀναγκάζῃ τύραννος· παρεστῶτι γὰρ δείξω, ὅτι οὐ κενοῖς ἐπιστεύσαμεν μύθοις οὐδὲ ἀναποδείκτοις λόγοις, ἀλλὰ μεστοῖς πνεύματος θείου καὶ δυνάμει βρύουσι καὶ τεθηλόσι χάριτι. Ἀνεγέλασαν οὖν πάλιν οἱ μετ' αὐτοῦ καὶ ἄκοσμον ἀνεφθέγγοντο· ἐγὼ δὲ ἀναστὰς οἷός τ' ἤμην ἀπέρχεσθαι, ὁ δέ μου τοῦ ἱματίου λαβόμενος οὐ πρὶν ἀνήσειν ἔφη, πρὶν ὃ ὑπεσχόμην ἐκτελέσαι. * * * * * * * * * * * * *

10. Ὡς δὲ ἀνεπαύσαντο, ἐγὼ οὕτως αὐτοῖς πάλιν ἠρξάμην· Μὴ ἄλλο τί ἐστιν ὃ ἐπιμέμφεσθε ἡμᾶς, ἄνδρες φίλοι, ἢ τοῦτο, ὅτι οὐ κατὰ τὸν νόμον βιοῦμεν, οὐδὲ ὁμοίως τοῖς προγόνοις ὑμῶν περιτεμνόμεθα τὴν σάρκα, οὐδὲ ὡς ὑμεῖς σαββατίζομεν; Ἦ καὶ ὁ βίος ἡμῶν καὶ τὸ ἦθος διαβέβληται παρ' ὑμῖν; Τοῦτο δ' ἔστιν ὃ λέγω, μὴ καὶ ὑμεῖς πεπιστεύκατε περὶ ἡμῶν, ὅτι δὴ ἐσθίομεν ἀνθρώπους καὶ μετὰ τὴν εἰλαπίνην[1] ἀποσβεννύντες τοὺς λύχνους ἀθέσμοις μίξεσιν ἐγκυλιόμεθα, ἢ αὐτὸ τοῦτο καταγινώσκετε ἡμῶν μόνον, ὅτι τοιούτοις προσέχομεν λόγοις καὶ οὐκ ἀληθεῖ, ὡς οἴεσθε, πιστεύομεν δόξῃ;

Τοῦτ' ἐστὶν ὃ θαυμάζομεν, ἔφη ὁ Τρύφων, περὶ δὲ ὧν οἱ πολλοὶ λέγουσιν, οὐ πιστεῦσαι ἄξιον· πόῤῥω γὰρ κεχώρηκε τῆς ἀνθρωπίνης φύσεως. Ὑμῶν δὲ καὶ τὰ ἐν τῷ λεγομένῳ εὐαγγελίῳ παραγγέλματα θαυμαστὰ οὕτως καὶ μεγάλα ἐπίσταμαι εἶναι, ὡς ὑπολαμβάνειν μηδένα δύνασθαι φυλάξαι αὐτά· ἐμοὶ γὰρ ἐμέλησεν ἐντυχεῖν αὐτοῖς. Ἐκεῖνο δὲ ἀποροῦμεν μάλιστα, εἰ ὑμεῖς, εὐσεβεῖν λέγοντες καὶ τῶν ἄλλων οἰόμενοι διαφέρειν, κατ' οὐδὲν αὐτῶν ἀπολείπεσθε, οὐδὲ διαλλάσσετε ἀπὸ τῶν ἐθνῶν τὸν ὑμέτερον βίον, ἐν τῷ μήτε τὰς ἑορτὰς μήτε τὰ σάββατα τηρεῖν[2] μήτε τὴν περιτομὴν ἔχειν, καὶ ἔτι ἐπ' ἄνθρωπον σταυρωθέντα τὰς ἐλπίδας ποιούμενοι ὅμως ἐλπίζετε τεύξεσθαι ἀγαθοῦ τινος παρὰ τοῦ θεοῦ, μὴ ποιοῦντες αὐτοῦ τὰς ἐντολάς. Ἢ οὐκ ἀνέγνως,

---

[1] Referring to gross charges against the first Christians, also noticed and refuted by Tertullian, Minucius Felix, &c.

[2] Compare with this sect. 41, where he recognises the first day of the week as the Sabbath. See also sect. 67, Apol. I.

ὅτι ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς, ἥτις οὐ περιτμηθήσεται τῇ ὀγδόῃ ἡμέρᾳ; Ὁμοίως δὲ καὶ περὶ τῶν ἀλλογενῶν καὶ περὶ τῶν ἀργυρωνήτων διέσταλται. Ταύτης οὖν τῆς διαθήκης εὐθέως καταφρονήσαντες ὑμεῖς ἀμελεῖτε καὶ τῶν ἔπειτα, καὶ πείθειν ἡμᾶς ἐπιχειρεῖτε ὡς εἰδότες τὸν θεόν, μηδὲν πράσσοντες ὧν οἱ φοβούμενοι τὸν θεόν. Εἰ οὖν ἔχεις πρὸς ταῦτα ἀπολογήσασθαι, καὶ ἐπιδεῖξαι ᾧτινι τρόπῳ ἐλπίζετε ὁτιοῦν, κἂν μὴ φυλάσσοντες τὸν νόμον, τοῦτό σου ἡδέως ἀκούσαιμεν μάλιστα, καὶ τὰ ἄλλα δὲ ὁμοίως συνεξετάσωμεν.

11. Οὔτε ἔσται ποτὲ ἄλλος θεός, ὦ Τρύφων, οὔτε ἦν ἀπ' αἰῶνος (ἐγὼ οὕτως πρὸς αὐτόν) πλὴν τοῦ ποιήσαντος καὶ διατάξαντος τόδε τὸ πᾶν. Οὐδὲ ἄλλον μὲν ἡμῶν, ἄλλον δὲ ὑμῶν ἡγούμεθα θεόν, ἀλλ' αὐτὸν ἐκεῖνον τὸν ἐξαγαγόντα τοὺς πατέρας ὑμῶν ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ καὶ βραχίονι ὑψηλῷ· οὐδ' εἰς ἄλλον τινὰ ἠλπίκαμεν (οὐ γὰρ ἔστιν) ἀλλ' εἰς τοῦτον, εἰς ὃν καὶ ὑμεῖς, τὸν θεὸν τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Ἠλπίκαμεν δὲ οὐ διὰ Μωσέως οὐδὲ διὰ τοῦ νόμου. ἦ γὰρ ἂν τὸ αὐτὸ ὑμῖν ἐποιοῦμεν. Νυνὶ δὲ ἀνέγνων γάρ, ὦ Τρύφων, ὅτι ἔσοιτο καὶ τελευταῖος νόμος καὶ διαθήκη κυριωτάτη πασῶν, ἣν νῦν δέον φυλάσσειν πάντας ἀνθρώπους, ὅσοι τῆς τοῦ θεοῦ κληρονομίας ἀντιποιοῦνται. Ὁ γὰρ ἐν Χωρὴβ παλαιὸς ἤδη νόμος καὶ ὑμῶν μόνων, ὁ δὲ πάντων ἁπλῶς· νόμος δὲ κατὰ νόμου τεθεὶς τὸν πρὸ αὐτοῦ ἔπαυσε, καὶ διαθήκη μετέπειτα γενομένη τὴν προτέραν ὁμοίως ἔστησεν. Αἰώνιός τε ἡμῖν νόμος καὶ τελευταῖος ὁ Χριστὸς ἐδόθη καὶ ἡ διαθήκη πιστή, μεθ' ἣν οὐ νόμος, οὐ πρόσταγμα, οὐκ ἐντολή. Ἢ σὺ ταῦτα οὐκ ἀνέγνως, ἅ φησιν Ἡσαΐας; Ἀκούσατέ μου, ἀκούσατέ μου, λαός μου, καὶ οἱ βασιλεῖς πρός με ἐνωτίζεσθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσι. Καὶ διὰ Ἱερεμίου περὶ ταύτης αὐτῆς τῆς καινῆς διαθήκης οὕτω φησίν· Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν, οὐχ ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ᾗ ἐπελαβόμην τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Εἰ οὖν ὁ

Θεὸς[1] διαθήκην καινὴν ἐκήρυξε μέλλουσαν διαταχθήσεσθαι καὶ ταύτην εἰς φῶς ἐθνῶν, ὁρῶμεν δὲ καὶ πεπείσμεθα διὰ τοῦ ὀνόματος αὐτοῦ τοῦ σταυρωθέντος Ἰησοῦ Χριστοῦ ἀπὸ τῶν εἰδώλων καὶ τῆς ἄλλης ἀδικίας προσελθόντας τῷ θεῷ καὶ μέχρι θανάτου ὑπομένοντας τὴν ὁμολογίαν καὶ εὐσέβειαν ποιεῖσθαι, καὶ ἐκ τῶν ἔργων καὶ ἐκ τῆς παρακολουθούσης δυνάμεως συνιέναι πᾶσι δυνατόν, ὅτι οὗτός ἐστιν ὁ καινὸς νόμος καὶ ἡ καινὴ διαθήκη καὶ ἡ προσδοκία τῶν ἀπὸ πάντων τῶν ἐθνῶν ἀναμενόντων τὰ παρὰ τοῦ θεοῦ ἀγαθά. Ἰσραηλιτικὸν γὰρ τὸ ἀληθινόν, πνευματικόν, καὶ Ἰούδα γένος καὶ Ἰακὼβ καὶ Ἰσαὰκ καὶ Ἀβραάμ, τοῦ ἐν ἀκροβυστίᾳ ἐπὶ τῇ πίστει μαρτυρηθέντος ὑπὸ τοῦ θεοῦ καὶ εὐλογηθέντος καὶ πατρὸς πολλῶν ἐθνῶν κληθέντος, ἡμεῖς ἐσμὲν οἱ διὰ τούτου τοῦ σταυρωθέντος Χριστοῦ τῷ Θεῷ προσαχθέντες, ὡς καὶ προκοπτόντων ἡμῖν τῶν λόγων ἀποδειχθήσεται.

12. Ἔλεγον δὲ ἔτι καὶ προσέφερον, ὅτι καὶ ἐν ἄλλοις λόγοις Ἡσαΐας βοᾷ· Ἀκούσατέ μου τοὺς λόγους, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἰδοὺ μαρτυρα αὐτὸν ἔθνεσι δέδωκα· Ἔθνη, ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε, λαοί, οἳ οὐκ ἐπίστανταί σε, καταφεύξονται ἐπί σε, ἕνεκεν τοῦ θεοῦ σου τοῦ ἁγίου Ἰσραήλ, ὅτι ἐδόξασέ σε· Τοῦτον αὐτὸν ὑμεῖς ἠτιμώσατε τὸν νόμον καὶ τὴν καινὴν ἁγίαν αὐτοῦ διαθήκην ἐφαυλίσατε, καὶ οὐδὲ νῦν παραδέχεσθε οὐδὲ μετανοεῖτε πράξαντες κακῶς· ἔτι γὰρ τὰ ὦτα ὑμῶν πέφρακται, οἱ ὀφθαλμοὶ ὑμῶν πεπήρωνται, καὶ πεπάχυται ἡ καρδία. Κέκραγεν Ἰερεμίας, καὶ οὐδ' οὕτως ἀκούετε· πάρεστιν ὁ νομοθέτης, καὶ οὐχ ὁρᾶτε· πτωχοὶ εὐαγ-

---

[1] Few things are more interesting in the Dialogue, or in the Apologies of Justin, than his frequent acknowledgment of the inspiration of the Prophets, and his references to the ἅγιον προφητικὸν πνεῦμα. The writer on inspiration, in the work called "Aids to Faith," makes good use of this fact. After remarking that the reverence which the ancient Jews felt for the Jewish Scriptures must have sprung from the highest theory of verbal inspiration, he adds: "The earlier Christian fathers seem to have followed much the same course as their Jewish predecessors. Justin Martyr and his opponent seem fully agreed in their appreciation of the Old Testament. Clemens Romanus calls the Holy Scriptures 'the true words of the Holy Ghost.' No definite theory of inspiration would be likely to be propounded; but the general reverence for the words of Holy writ, and the deep significance believed to exist underneath the letter, prove the belief in inspiration to have been strong and universal."—*Aids to Faith, Lond.* 1861, p. 289.

γελίζονται, τυφλοὶ βλέπουσι, καὶ οὐ συνίετε. Δευτέρας ἤδη χρεία περιτομῆς, καὶ ὑμεῖς ἐπὶ τῇ σαρκὶ μέγα φρονεῖτε. σαββατίζειν ὑμᾶς ὁ καινὸς νόμος διαπαντὸς ἐθέλει, καὶ ὑμεῖς μίαν ἀργοῦντες ἡμέραν εὐσεβεῖν δοκεῖτε, μὴ νοοῦντες, διὰ τί ὑμῖν προσετάγη· καὶ ἐὰν ἄζυμον ἄρτον φάγητε, πεπληρωκέναι τὸ θέλημα τοῦ θεοῦ φατέ. Οὐκ ἐν τούτοις εὐδοκεῖ κύριος ὁ θεὸς ἡμῶν. Εἴ τις ἔστιν ἐν ὑμῖν ἐπίορκος ἢ κλέπτης, παυσάσθω· εἴ τις μοιχός, μετανοησάτω, καὶ σεσαββάτικε τὰ τρυφερὰ καὶ ἀληθινὰ σάββατα τοῦ θεοῦ· εἴ τις καθαρὰς οὐκ ἔχει χεῖρας, λουσάσθω, καὶ καθαρός ἐστιν.

40. Τὸ μυστήριον οὖν τοῦ προβάτου, ὃ τὸ πάσχα θύειν ἐντέταλται ὁ θεός, τύπος ἦν τοῦ Χριστοῦ, οὗ τῷ αἵματι κατὰ τὸν λόγον τῆς εἰς αὐτὸν πίστεως χρίονται τοὺς οἴκους ἑαυτῶν, τουτέστιν ἑαυτούς, οἱ πιστεύοντες εἰς αὐτόν· ὅτι γὰρ τὸ πλάσμα, ὃ ἔπλασεν ὁ θεὸς τὸν Ἀδάμ, οἶκος ἐγένετο τοῦ ἐμφυσήματος τοῦ παρὰ τοῦ θεοῦ, καὶ πάντες νοεῖν δύνασθε. Καὶ ὅτι πρόσκαιρος ἦν καὶ αὕτη ἡ ἐντολή, οὕτως ἀποδείκνυμι. Οὐδαμοῦ θύεσθαι τὸ πρόβατον τοῦ πάσχα ὁ θεὸς συγχωρεῖ, εἰ μὴ ἐπὶ τόπῳ ᾧ ἐπικέκληται τὸ ὄνομα αὐτοῦ, εἰδὼς ὅτι ἐλεύσονται ἡμέραι μετὰ τὸ παθεῖν τὸν Χριστόν, ὅτε καὶ ὁ τόπος τῆς Ἱερουσαλὴμ τοῖς ἐχθροῖς ὑμῶν παραδοθήσεται καὶ παύσονται ἅπασαι ἁπλῶς προσφοραὶ γινόμεναι. Καὶ τὸ κελευσθὲν πρόβατον ἐκεῖνο ὀπτὸν ὅλον γίνεσθαι τοῦ πάθους τοῦ σταυροῦ, δι' οὗ πάσχειν ἔμελλεν ὁ Χριστός, σύμβολον ἦν. Τὸ γὰρ ὀπτώμενον πρόβατον σχηματιζόμενον ὁμοίως τῷ σχήματι τοῦ σταυροῦ ὀπτᾶται· εἷς γὰρ ὄρθιος ὀβελίσκος διαπερονᾶται ἀπὸ τῶν κατωτάτω μερῶν μέχρι τῆς κεφαλῆς, καὶ εἷς πάλιν κατὰ τὸ μετάφρενον, ᾧ προσαρτῶνται καὶ αἱ χεῖρες τοῦ προβάτου. Καὶ οἱ ἐν τῇ νηστείᾳ δὲ τράγοι δύο ὅμοιοι κελευσθέντες γίνεσθαι, ὧν ὁ εἷς ἀποπομπαῖος ἐγίνετο, ὁ δὲ ἕτερος εἰς προσφοράν, τῶν δύο παρουσιῶν τοῦ Χριστοῦ καταγγελία ἦσαν· μιᾶς μέν, ἐν ᾗ ὡς ἀποπομπαῖον αὐτὸν παρεπέμψαντο οἱ πρεσβύτεροι τοῦ λαοῦ ὑμῶν καὶ οἱ ἱερεῖς, ἐπιβαλόντες αὐτῷ τὰς χεῖρας καὶ θανατώσαντες αὐτόν, καὶ τῆς δευτέρας δὲ αὐτοῦ παρουσίας, ὅτι ἐν τῷ αὐτῷ τόπῳ τῶν Ἱεροσολύμων ἐπιγνώσεσθε αὐτόν, τὸν ἀτιμωθέντα ὑφ' ὑμῶν, καὶ προσφορὰ ἦν ὑπὲρ πάντων τῶν μετανοεῖν βουλομένων ἁμαρτωλῶν καὶ νηστευόντων ἣν κατα-

λέγει Ἠσαΐας νηστείαν, διασπῶντες στραγγαλιὰς βιαίων συναλλαγμάτων καὶ τὰ ἄλλα ὁμοίως τὰ κατηριθμημένα ὑπ' αὐτοῦ, ἃ καὶ αὐτὸς ἀνιστόρησα, φυλάσσοντες, ἃ ποιοῦσιν οἱ τῷ Ἰησοῦ πιστεύοντες. Καὶ ὅτι καὶ ἡ τῶν δύο τράγων τῶν νηστείᾳ κελευσθέντων προσφέρεσθαι προσφορὰ οὐδαμοῦ ὁμοίως συγκεχώρηται γίνεσθαι, εἰ μὴ ἐν Ἱεροσολύμοις, ἐπίστασθε.

41. Καὶ ἡ τῆς σεμιδάλεως δὲ προσφορά, ὦ ἄνδρες, ἔλεγον, ἡ ὑπὲρ τῶν καθαριζομένων ἀπὸ τῆς λέπρας προσφέρεσθαι παραδοθεῖσα, τύπος ἦν τοῦ ἄρτου τῆς εὐχαριστίας, ὃν εἰς ἀνάμνησιν τοῦ πάθους, οὗ ἔπαθεν ὑπὲρ τῶν καθαιρομένων τὰς ψυχὰς ἀπὸ πάσης πονηρίας ἀνθρώπων, Ἰησοῦς Χριστὸς ὁ κύριος ἡμῶν παρέδωκε ποιεῖν, ἵνα ἅμα τε εὐχαριστῶμεν τῷ θεῷ ὑπέρ τε τοῦ τὸν κόσμον ἐκτικέναι σὺν πᾶσι τοῖς ἐν αὐτῷ διὰ τὸν ἄνθρωπον, καὶ ὑπὲρ τοῦ ἀπὸ τῆς κακίας, ἐν ᾗ γεγόναμεν, ἠλευθερωκέναι ἡμᾶς, καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας κατελελυκέναι τελείαν κατάλυσιν διὰ τοῦ παθητοῦ γενομένου κατὰ τὴν βουλὴν αὐτοῦ. Ὅθεν περὶ μὲν τῶν ὑφ' ὑμῶν τότε προσφερομένων θυσιῶν λέγει ὁ θεός, ὡς προέφην, διὰ Μαλαχίου, ἑνὸς τῶν δώδεκα· Οὐκ ἔστι θέλημά μου ἐν ὑμῖν, λέγει κύριος, καὶ τὰς θυσίας ὑμῶν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν· διότι ἀπὸ ἀνατολῆς ἡλίου ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά, ὅτι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει κύριος, ὑμεῖς δὲ βεβηλοῦτε αὐτό. Περὶ δὲ τῶν ἐν παντὶ τόπῳ ὑφ' ἡμῶν τῶν ἐθνῶν προσφερομένων αὐτῷ θυσιῶν, τουτέσι τοῦ ἄρτου τῆς εὐχαριστίας καὶ τοῦ ποτηρίου ὁμοίως τῆς εὐχαριστίας, προλέγει τότε εἰπὼν καὶ τὸ ὄνομα αὐτοῦ δοξάζειν ἡμᾶς, ὑμᾶς δὲ βεβηλοῦν. Ἡ δὲ ἐντολὴ τῆς περιτομῆς, κελεύουσα τῇ ὀγδόῃ ἡμέρᾳ ἐκ παντὸς περιτέμνειν τὰ γεννώμενα, τύπος ἦν τῆς ἀληθινῆς περιτομῆς, ἣν περιετμήθημεν ἀπὸ τῆς πλάνης καὶ πονηρίας διὰ τοῦ ἀπὸ νεκρῶν ἀναστάντος τῇ μιᾷ τῶν σαββάτων ἡμέρᾳ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν· μία γὰρ τῶν σαββάτων, πρώτη μένουσα τῶν πασῶν ἡμερῶν, κατὰ τὸν ἀριθμὸν πάλιν τῶν πασῶν ἡμερῶν τῆς κυκλοφορίας ὀγδόη καλεῖται καὶ πρώτη οὖσα μένει.

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ

ΑΠΟΛΟΓΙΑ ΠΡΩΤΗ ΥΠΕΡ ΧΡΙΣΤΙΑΝΩΝ

ΠΡΟΣ ΑΝΤΩΝΙΝΟΝ ΤΟΝ ΕΥΣΕΒΗ.

---

1. Αὐτοκράτορι Τίτῳ Αἰλίῳ Ἀδριανῷ Ἀντωνίνῳ Εὐσεβεῖ Σεβαστῷ Καίσαρι καὶ Οὐηρισσίμῳ υἱῷ φιλοσόφῳ καὶ Λουκίῳ φιλοσόφῳ Καίσαρος φύσει υἱῷ καὶ Εὐσεβοῦς εἰσποιητῷ, ἐραστῇ παιδείας, ἱερᾷ τε Συγκλήτῳ καί δήμῳ παντὶ Ῥωμαίων ὑπὲρ τῶν ἐκ παντὸς γένους ἀνθρώπων ἀδίκως μισουμένων καὶ ἐπηρεαζομένων Ἰουστῖνος Πρίσκου τοῦ Βακχείου, τῶν ἀπὸ Φλαουΐας νέας πόλεως τῆς Συρίας Παλαιστίνης, εἷς αὐτῶν ὢν τὴν προσφώνησιν καὶ ἔντευξιν πεποίημαι.

2. Τοὺς κατ' ἀλήθειαν εὐσεβεῖς καὶ φιλοσόφους μόνον τἀληθὲς τιμᾶν καὶ στέργειν ὁ λόγος ὑπαγορεύει, παραιτουμένους δόξαις παλαιῶν ἐξακολουθεῖν, ἂν φαῦλαι ὦσιν· οὐ γὰρ μόνον μὴ ἕπεσθαι τοῖς ἀδίκως τι πράξασιν ἢ δογματίσασιν ὁ σώφρων λόγος ὑπαγορεύει, ἀλλ' ἐκ παντὸς τρόπου καὶ πρὸ τῆς ἑαυτοῦ ψυχῆς τὸν φιλαλήθη, κἂν θάνατος ἀπειλῆται, τὰ δίκαια λέγειν τε καὶ πράττειν αἱρεῖσθαι δεῖ. Ὑμεῖς μὲν οὖν ὅτι λέγεσθε εὐσεβεῖς καὶ φιλόσοφοι καὶ φύλακες δικαιοσύνης καὶ ἐρασταὶ παιδείας, ἀκούετε πανταχοῦ, εἰ δὲ καὶ ὑπάρχετε, δειχθήσεται.[1] Οὐ γὰρ κολακεύσοντες ὑμᾶς διὰ τῶνδε τῶν γραμμάτων οὐδὲ πρὸς χάριν ὁμιλήσοντες, ἀλλ' ἀπαιτήσοντες κατὰ τὸν ἀκριβῆ ἐξεταστικὸν λόγον τὴν κρίσιν ποιήσασθαι προσεληλύθειμεν, μὴ προλήψει μηδ' ἀνθρωπαρεσκείᾳ τῇ δεισιδαιμόνων κατεχομένους ἢ ἀλόγῳ ὁρμῇ καὶ χρονίᾳ προκατεσχηκυίᾳ φήμῃ κακῇ τὴν καθ' ἑαυτῶν ψῆφον φέροντας. Ἡμεῖς μὲν γὰρ πρὸς οὐδενὸς πείσεσθαί τι κακὸν δύνασθαι

---

[1] The meaning is; the "Apology" being read, and the true character of Christians understood, it would be seen by the treatment given to them whether their rulers really deserved the title Εὐσεβεῖς.

λεγογίσμεθα, ἢν μὴ κακίας ἐργάται ἐλεγχώμεθα ἢ πονηροὶ διεγνώσμεθα· ὑμεῖς δ' ἀποκτεῖναι μὲν δύνασθε, βλάψαι δ' οὔ.

3. Ἀλλ' ἵνα μὴ ἄλογον φωνὴν καὶ τολμηρὰν δόξῃ τις ταῦτα εἶναι, ἀξιοῦμεν τὰ κατηγορούμενα αὐτῶν ἐξετάζεσθαι, καὶ, ἐὰν οὕτως ἔχοντα ἀποδεικνύωνται, κολάζεσθαι ὡς πρέπον ἐστί· εἰ δὲ μηδὲν ἔχοι τις ἐλέγχειν, οὐχ ὑπαγορεύει ὁ ἀληθὴς λόγος διὰ φήμην πονηρὰν ἀναιτίους ἀνθρώπους ἀδικεῖν, μᾶλλον δὲ ἑαυτούς, οἳ οὐ κρίσει, ἀλλὰ πάθει τὰ πράγματα ἐπάγειν ἀξιοῦτε. Καλὴν δὲ καὶ μόνην δικαίαν πρόκλησιν ταύτην πᾶς ὁ σωφρονῶν ἀποφανεῖται, τὸ τοὺς ἀρχομένους τὴν εὐθύνην τοῦ ἑαυτῶν βίου καὶ λόγου ἄληπτον παρέχειν, ὁμοίως δ' αὖ καὶ τοὺς ἄρχοντας μὴ βίᾳ μηδὲ τυραννίδι, ἀλλ' εὐσεβείᾳ καὶ φιλοσοφίᾳ ἀκολουθοῦντας τὴν ψῆφον τίθεσθαι. Οὕτως γὰρ ἂν καὶ οἱ ἄρχοντες καὶ οἱ ἀρχόμενοι ἀπολαύοιεν τοῦ ἀγαθοῦ. Ἔφη γάρ που καί τις τῶν παλαιῶν· Ἂν μὴ οἱ ἄρχοντες φιλοσοφήσωσι καὶ οἱ ἀρχόμενοι, οὐκ ἂν εἴη τὰς πόλεις εὐδαιμονῆσαι. Ἡμέτερον οὖν ἔργον, καὶ βίου καὶ μαθημάτων τὴν ἐπίσκεψιν πᾶσι παρέχειν, μήπως ὑπὲρ τῶν ἀγνοεῖν τὰ ἡμέτερα νομιζόντων τὴν τιμωρίαν, ὧν ἂν πλημμελῶσι τυφλώττοντες αὐτῶν, αὐτοῖς ὀφλήσωμεν· ὑμέτερον δέ, ὡς αἱρεῖ λόγος, ἀκούοντας ἀγαθοὺς εὑρίσκεσθαι κριτάς. Ἀναπολόγητον γὰρ λοιπὸν μαθοῦσιν, ἢν μὴ τὰ δίκαια ποιήσητε, ὑπάρξει πρὸς θεόν.

4. Ὀνόματος μὲν οὖν προσωνυμίᾳ οὔτε ἀγαθὸν οὔτε κακὸν κρίνεται ἄνευ τῶν ὑποπιπτουσῶν τῷ ὀνόματι πράξεων· ἐπεί, ὅσον γε ἐκ τοῦ κατηγορουμένου ἡμῶν ὀνόματος, χρηστότατοι ὑπάρχομεν. Ἀλλ' ἐπεὶ οὐ τοῦτο δίκαιον ἡγούμεθα, διὰ τὸ ὄνομα, ἐὰν κακοὶ ἐλεγχώμεθα, αἰτεῖν ἀφίεσθαι, πάλιν, εἰ μηδὲν διά τε τὴν προσηγορίαν τοῦ ὀνόματος καὶ διὰ τὴν πολιτείαν εὑρισκόμεθα ἀδικοῦντες, ὑμέτερον ἀγωνιᾶσαί ἐστι, μὴ ἀδίκως κολάζοντες τοὺς μὴ ἐλεγχομένους τῇ δίκῃ κόλασιν ὀφλήσητε. Ἐξ ὀνόματος μὲν γὰρ ἢ ἔπαινος ἢ κόλασις οὐκ ἂν εὐλόγως γένοιτο, ἢν μή τι ἐνάρετον ἢ φαῦλον δι' ἔργων ἀποδείκνυσθαι δύνηται· καὶ γὰρ τοὺς κατηγορουμένους ἐφ' ὑμῶν πάντας πρὶν ἐλεγχθῆναι οὐ τιμωρεῖτε, ἐφ' ἡμῶν δὲ τὸ ὄνομα ὡς ἔλεγχον λαμβάνετε, καίπερ, ὅσον γε ἐκ τοῦ ὀνοματος, τοὺς κατηγοροῦντας μᾶλλον κολάζειν ὀφείλετε. Χριστιανοὶ γὰρ εἶναι

κατηγορούμεθα· τὸ δὲ χρηστὸν[1] μισεῖσθαι οὐ δίκαιον. Καὶ πάλιν, ἐὰν μέν τις τῶν κατηγορουμένων ἔξαρνος γένηται τῇ φωνῇ μὴ εἶναι φήσας, ἀφίετε αὐτὸν ὡς μηδὲν ἐλέγχειν ἔχοντες ἁμαρτάνοντα, ἐὰν δέ τις ὁμολογήσῃ εἶναι, διὰ τὴν ὁμολογίαν κολάζετε· δέον καὶ τὸν τοῦ ὁμολογοῦντος βίον εὐθύνειν καὶ τὸν τοῦ ἀρνουμένου, ὅπως διὰ τῶν πράξεων ὁποῖός ἐστιν ἕκαστος φαίνηται. Ὃν γὰρ τρόπον παραλαβόντες τινὲς παρὰ τοῦ διδασκάλου Χριστοῦ μὴ ἀρνεῖσθαι ἐξεταζόμενοι παρακελεύονται, τὸν αὐτὸν τρόπον κακῶς ζῶντες ἴσως ἀφορμὰς παρέχουσι τοῖς ἄλλως καταλέγειν τῶν πάντων Χριστιανῶν ἀσέβειαν καὶ ἀδικίαν αἱρουμένοις· Οὐκ ὀρθῶς μὲν οὐδὲ τοῦτο πράττεται. Καὶ γάρ τοι φιλοσοφίας ὄνομα καὶ σχῆμα ἐπιγράφονταί τινες, οἳ οὐδὲν ἄξιον τῆς ὑποσχέσεως πράττουσι· γινώσκετε δ' ὅτι καὶ οἱ τὰ ἐναντία δοξάσαντες καὶ δογματίσαντες τῶν παλαιῶν τῷ ἑνὶ ὀνόματι προσαγορεύονται φιλόσοφοι. Καὶ τούτων τινὲς ἀθεότητα ἐδίδαξαν, καὶ τὸν Δία ἀσελγῆ ἅμα τοῖς αὐτοῦ παισὶν οἱ γενόμενοι ποιηταὶ καταγγέλλουσι· κἀκείνων τὰ διδάγματα οἱ μετερχόμενοι οὐκ εἴργονται πρὸς ὑμῶν, ἆθλα δὲ καὶ τιμὰς τοῖς εὐφώνως ὑβρίζουσι τούτους τίθετε·

5. Τί δὴ οὖν τοῦτ' ἂν εἴη; Ἐφ' ἡμῶν ὑπισχνουμένων μηδὲν ἀδικεῖν μηδὲ τὰ ἄθεα ταῦτα δοξάζειν, οὐ κρίσεις ἐξετάζετε, ἀλλ' ἀλόγῳ πάθει καὶ μάστιγι δαιμόνων φαύλων ἐξελαυνόμενοι ἀκρίτως κολάζετε μὴ φροντίζοντες. Εἰρήσεται γὰρ τἀληθές· ἐπεὶ τὸ παλαιὸν δαίμονες φαῦλοι, ἐπιφανείας ποιησάμενοι, καὶ γυναῖκας ἐμοίχευσαν καὶ παῖδας διέφθειραν καὶ φόβητρα ἀνθρώποις ἔδειξαν, ὡς καταπλαγῆναι τοὺς οἳ λόγῳ τὰς γινομένας πράξεις οὐκ ἔκρινον, ἀλλὰ δέει συνηρπασμένοι καὶ μὴ ἐπιστάμενοι δαίμονας εἶναι φαύλους, θεοὺς προσωνόμαζον καὶ ὀνόματι ἕκαστον προσηγόρευον, ὅπερ ἕκαστος[2] αὐτῷ τῶν δαιμόνων ἐτίθετο. Ὅτε δὲ Σωκράτης λόγῳ ἀληθεῖ καὶ ἐξεταστικῶς ταῦτα εἰς φανερὸν ἐπειρᾶτο φέρειν καὶ ἀπάγειν τῶν δαιμόνων

---

[1] χρηστὸν—Some think this is a play on words by the good father; who was not ignorant of the real etymology of Χριστιανοὶ, as appears in sect. 12, Ἰησοῦς Χριστός ἀφ' οὗ καὶ τὸ Χριστιανοὶ ἐπονομάζεσθαι ἐσχήκαμεν. "Vehementer antiqui tum sacri tum profani scriptores, Attici imprimis (Plato et Demosthenes) in ejusmodi lusibus etymologicis, et quidem in hac voce χρηστὸς elaborárunt."—Cf. Grotius ad Matt, 1, 21, &c.—Otto.

[2] A better reading, ἑαυτῷ.—Otto.

τοὺς ἀνθρώπους, καὶ αὐτοὶ οἱ δαίμονες διὰ τῶν χαιρόντων τῇ κακίᾳ ἀνθρώπων ἐνήργησαν ὡς ἄθεον καὶ ἀσεβῆ ἀποκτεῖναι, λέγοντες καινὰ εἰσφέρειν αὐτὸν δαιμόνια. Καὶ ὁμοίως ἐφ' ἡμῶν τὸ αὐτὸ ἐνεργοῦσιν· οὐ γὰρ μόνον ἐν Ἕλλησι διὰ Σωκράτους ὑπὸ λόγου ἠλέγχθη ταῦτα, ἀλλὰ καὶ ἐν βαρβάροις[1] ὑπ' αὐτοῦ τοῦ λόγου μορφωθέντος καὶ ἀνθρώπου γενομένου καὶ Ἰησοῦ Χριστοῦ κληθέντος, ᾧ πεισθέντες ἡμεῖς τοὺς ταῦτα πράξαντας δαίμονας οὐ μόνον μὴ ὀρθοὺς εἶναί φαμεν, ἀλλὰ κακοὺς καὶ ἀνοσίους δαίμονας, οἳ οὐδὲ τοῖς ἀρετὴν ποθοῦσιν ἀνθρώποις τὰς πράξεις ὁμοίας ἔχουσι.

6. Ἐνθένδε καὶ ἄθεοι κεκλήμεθα. Καὶ ὁμολογοῦμεν τῶν τοιούτων νομιζομένων θεῶν ἄθεοι εἶναι, ἀλλ' οὐχὶ τοῦ ἀληθεστάτου καὶ πατρὸς δικαιοσύνης καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν, ἀνεπιμίκτου τε κακίας θεοῦ· ἀλλ' ἐκεῖνόν τε, καὶ τὸν παρ' αὐτοῦ υἱὸν ἐλθόντα καὶ διδάξαντα ἡμᾶς ταῦτα, καὶ τὸν τῶν ἄλλων ἑπομένων καὶ ἐξομοιουμένων ἀγαθῶν ἀγγέλων στρατόν, πνεῦμά τε τὸ προφητικὸν σεβόμεθα καὶ προσκυνοῦμεν, λόγῳ καὶ ἀληθείᾳ τιμῶντες, καὶ παντὶ βουλομένῳ μαθεῖν, ὡς ἐδιδάχθημεν, ἀφθόνως παραδιδόντες. * * * * * *

11. Καὶ ὑμεῖς, ἀκούσαντες βασιλείαν προσδοκῶντας ἡμᾶς, ἀκρίτως ἀνθρώπινον λέγειν ἡμᾶς ὑπειλήφατε, ἡμῶν τὴν μετὰ θεοῦ λεγόντων, ὡς καὶ ἐκ τοῦ ἀνεταζομένους ὑφ' ὑμῶν ὁμολογεῖν εἶναι Χριστιανούς, γινώσκοντες τῷ ὁμολογοῦντι θάνατον τὴν ζημίαν κεῖσθαι, φαίνεται. Εἰ γὰρ ἀνθρώπινον βασιλείαν προσεδοκῶμεν, κἂν ἠρνούμεθα, ὅπως μὴ ἀναιρώμεθα, καὶ λανθάνειν ἐπειρώμεθα, ὅπως τῶν προσδοκωμένων τύχωμεν· ἀλλ' ἐπεὶ οὐκ εἰς τὸ νῦν τὰς ἐλπίδας ἔχομεν, ἀναιρούντων οὐ πεφροντίκαμεν, τοῦ καὶ πάντως ἀποθανεῖν ὀφειλομένου. * * *

13. Ἄθεοι[2] μὲν οὖν ὡς οὔκ ἐσμεν, τὸν δημιουργὸν τοῦδε τοῦ παντὸς σεβόμενοι, ἀνενδεῆ αἱμάτων καὶ σπονδῶν καὶ θυμιαμάτων, ὡς ἐδιδάχθημεν, λέγοντες, λόγῳ εὐχῆς καὶ εὐχαριστίας ἐφ' οἷς προσφερόμεθα πᾶσιν, ὅση δύναμις, αἰνοῦντες, μόνην ἀξίαν

[1] The Jews as well as other nations were so called by the Greeks. JUSTIN here uses the term in adaptation to the ideas of those to whom he writes.

[2] The primitive Christians were so called as being despisers of the pagan divinities, and for refusing to worship them. Hence the severity even of M. Aurelius, who to his stoicism added a bigotted zeal for his religion, such as it was. Julian afterwards called Christianity "the Atheism."

αὐτοῦ τιμὴν ταύτην παραλαβόντες, τὸ τὰ ὑπ' ἐκείνου εἰς διατροφὴν γενόμενα οὐ πυρὶ δαπανᾶν, ἀλλ' ἑαυτοῖς καὶ τοῖς δεομένοις προσφέρειν, ἐκείνῳ δὲ εὐχαρίστους ὄντας διὰ λόγου πομπὰς[1] *καὶ ὕμνους πέμπειν ὑπέρ τε τοῦ γεγονέναι καὶ τῶν εἰς εὐρωστίαν πόρων πάντων, ποιοτήτων μὲν γενῶν καὶ μεταβολῶν ὡρῶν, καὶ τοῦ πάλιν ἐν ἀφθαρσίᾳ γενέσθαι διὰ πίστιν τὴν ἐν αὐτῷ αἰτήσεις πέμποντες, τίς σωφρονῶν οὐχ ὁμολογήσει; Τὸν διδάσκαλόν τε τούτων γενόμενον ἡμῖν καὶ εἰς τοῦτο γεννηθέντα Ἰησοῦν Χριστόν, τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου, τοῦ γενομένου ἐν Ἰουδαίᾳ ἐπὶ χρόνοις Τιβερίου Καίσαρος ἐπιτρόπου, υἱὸν αὐτοῦ τοῦ ὄντως θεοῦ*[2] *μαθόντες καὶ ἐν δευτέρᾳ χώρᾳ ἔχοντες, πνεῦμά τε προφητικὸν ἐν τρίτῃ τάξει ὅτι μετὰ λόγου τιμῶμεν, ἀποδείξομεν. Ἐνταῦθα*

---

[1] *πομπὰς,* means here solemnly recited prayers; it used to denote a solemn ceremony in honour of the gods or men.

[2] Sometimes, in clear terms, Justin acknowledges the divinity of Christ, and of the Holy Ghost. Yet, no doubt, a like indistinctness attaches to some of his expressions as to those of the Alexandrian school, contrasting disadvantageously with the post-Nicene writers. His ascription of Almighty power and eternity to the Father, as if exclusively, may be accounted for from his having in view the Marcionites, Valentinians, and other Gnostics, who either denied the Father to be the supreme God, or refused the God of the Bible to be the Creator. But in his description of the "Logos" we may perceive his Platonic ideas. He attributes to the will of the Father the generation of the Son; though previously he was the *Λογός ἐνδιάθετος,* inherent in the Father; yet correspondingly to the term Logos, as meaning, either reason or utterance, he became also *Λογός προφορίκός.* His generation in this sense is not his beginning to be, but as a distinct person beginning to exert his powers upon external objects; and to the agency of this person Justin ascribes the creation of the World, and all the Theophanies of the Old Testament, (see sections 23, 63; also 2nd Apol., 10.) Although Justin carefully distinguishes the origin of the Son from creation out of nothing, yet he scruples not to apply the term *ἔκτισε* in Prov. 8, (LXX,) to the Logos: at that time no dispute having arisen respecting the difference of the idea of generation and creation. Arians and Sabellians have taken advantage of Justin's words; he speaks again and again, however, of Father, Son, and Holy Ghost, as objects of Divine worship. His ideas of the "Logos" may explain also his language respecting Socrates and Plato, and the Stoics. The Logos was regarded by Justin, besides being a hypostasis, as the diffused truth—the wisdom of God—the fountain of all truth to men. In the human soul is something allied to it—a seed of it implanted —the *λόγος σπερματικὸς.*—(See 2nd Apol., 13.) This was developed in all who, like Socrates or Plato, gave themselves up to the inspirations of heavenly wisdom; they were disciples of the Logos, Christians before Christianity. But, the hypostatical Logos "was the centre where all the scattered rays of the god-like in humanity converged. He makes use of this doctrine to vindicate against the heathen the lateness of Christ's advent, and to argue their responsibility."—*Neander's Christian Dogmas,* I.

Milner is pleased with Justin, as "in fundamentals unquestionably sound; though in asserting that the philosophers saw something of truth from the portion of the seed of the divine word, which he makes to

γὰρ μανίαν ἡμῶν καταφαίνονται, δευτέραν χώραν μετὰ τὸν ἄτρεπτον καὶ ἀεὶ ὄντα θεὸν καὶ γεννήτορα τὸν ἁπάντων ἀνθρώπῳ σταυρωθέντι διδόναι ἡμᾶς λέγοντες, ἀγνοοῦντες τὸ ἐν τούτῳ μυστήριον, ᾧ προσέχειν ὑμᾶς ἐξηγουμένων ἡμῶν προτρεπόμεθα.

14. *Προλέγομεν γὰρ ὑμῖν φυλάξασθαι, μὴ οἱ προδιαβεβλημένοι ὑφ' ἡμῶν δαίμονες ἐξαπατήσωσιν ὑμᾶς καὶ ἀποτρέψωσι τοῦ ὅλως ἐντυχεῖν καὶ συνεῖναι τὰ λεγόμενα (ἀγωνίζονται γὰρ ἔχειν ὑμᾶς δούλους καὶ ὑπηρέτας, καὶ ποτὲ μὲν δι' ὀνείρων ἐπιφανείας, ποτὲ δ' αὖ διὰ μαγικῶν στροφῶν χειροῦνται πάντας τοὺς οὐκ ἔσθ' ὅπως ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἀγωνιζομένους), ὃν τρόπον καὶ ἡμεῖς μετὰ τὸ τῷ λόγῳ πεισθῆναι ἐκείνων μὲν ἀπέστημεν, θεῷ δὲ μόνῳ τῷ ἀγεννήτῳ*[1] *διὰ τοῦ υἱοῦ ἑπόμεθα· οἱ πάλαι μὲν πορνείαις χαίροντες, νῦν δὲ σωφροσύνην μόνην ἀσπαζόμενοι· οἱ δὲ καὶ μαγικαῖς τέχναις χρώμενοι, ἀγαθῷ καὶ ἀγεννήτῳ θεῷ ἑαυτοὺς ἀνατεθεικότες· χρημάτων δὲ καὶ κτημάτων οἱ πόρους παντὸς μᾶλλον στέργοντες, νῦν καὶ ἃ ἔχομεν εἰς κοινὸν φέροντες καὶ παντὶ δεομένῳ κοινωνοῦντες· οἱ μισάλληλοι δὲ καὶ ἀλληλοφόνοι καὶ πρὸς τοὺς οὐχ ὁμοφύλους διὰ τὰ ἔθη καὶ ἑστίας κοινὰς μὴ ποιούμενοι, νῦν μετὰ τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ ὁμοδίαιτοι γινόμενοι, καὶ ὑπὲρ τῶν ἐχθρῶν εὐχόμενοι, καὶ τοὺς ἀδίκως μισοῦντας πείθειν πειρώμενοι, ὅπως οἱ κατὰ τὰς τοῦ Χριστοῦ καλὰς ὑποθημοσύνας βιώσαντες εὐέλπιδες ὦσι, σὺν ἡμῖν τῶν αὐτῶν παρὰ τοῦ πάντων δεσπόζοντος θεοῦ τυχεῖν. Ἵνα δὲ μὴ σοφίζεσθαι ὑμᾶς δόξωμεν, ὀλίγων τινῶν τῶν παρ' αὐτοῦ τοῦ Χριστοῦ διδαγμάτων ἐπιμνησθῆναι καλῶς ἔχειν πρὸ τῆς ἀποδείξεως ἡγησάμεθα, καὶ ὑμέτερον ἔστω ὡς δυνατῶν βασιλέων ἐξετάσαι, εἰ ἀληθῶς ταῦτα δεδιδάγμεθα καὶ διδάσκομεν. Βραχεῖς δὲ καὶ σύντομοι παρ' αὐτοῦ λόγοι γεγόνασιν· οὐ γὰρ σοφιστὴς ὑπῆρχεν, ἀλλὰ δύναμις θεοῦ ὁ λόγος αὐτοῦ ἦν.*

---

be the same as the only begotten Son of God, this excellent man is not sufficiently careful to distinguish the light of natural conscience from the light of grace, and gave unwarily a handle to mystics and heretics, or those Platonizing Christians who incorporated their doctrine of the Τὸ ἕν with the Gospel. If I mistake not (says MILNER) Justin was the first sincere Christian who was seduced by human philosophy to adulterate the Gospel, though in a small degree."—*History, Cent.* II.

[1] See note at sect. 13.

22. Υἱὸς δὲ θεοῦ ὁ Ἰησοῦς λεγόμενος, εἰ καὶ κοινῶς μόνον ἄνθρωπος, διὰ σοφίαν ἄξιος υἱὸς θεοῦ λέγεσθαι· πατέρα γὰρ ἀνδρῶν τε θεῶν τε πάντες συγγραφεῖς τὸν θεὸν καλοῦσιν. Εἰ δὲ καὶ ἰδίως παρὰ τὴν κοινὴν γένεσιν γεγενῆσθαι αὐτὸν ἐκ θεοῦ λέγομεν λόγον θεοῦ, ὡς προέφημεν, κοινὸν τοῦτο ἔστω ὑμῖν τοῖν τὸν Ἑρμῆν λόγον τὸν παρὰ θεοῦ ἀγγελτικὸν λέγουσιν. Εἰ δὲ αἰτιάσαιτό τις ἐσταυρῶσθαι αὐτόν, καί τοῦτο κοινὸν τοῖς προκατηριθμημένοις παθοῦσιν υἱοῖς καθ' ὑμᾶς τοῦ Διὸς ὑπάρχει. Ἐκείνων τε γὰρ οὐχ ὅμοια τὰ πάθη τοῦ θανάτου, ἀλλὰ διάφορα ἱστορεῖται, ὥστε μηδὲ τὸ ἴδιον τοῦ πάθους ἧττονα δοκεῖν εἶναι τοῦτον, ἀλλ', ὡς ὑπεσχόμεθα, προϊόντος τοῦ λόγου καὶ κρείττονα ἀποδείξομεν, μᾶλλον δὲ καὶ ἀποδέδεικται· ὁ γὰρ κρείττων ἐκ τῶν πράξεων φαίνεται. Εἰ δὲ καὶ διὰ παρθένου γεγεννῆσθαι φέρομεν, κοινὸν καὶ τοῦτο πρὸς τὸν Περσέα ἔστω ὑμῖν. Ὧι δὲ λέγομεν χωλοὺς καὶ παραλυτικοὺς καὶ ἐκ γενετῆς πονηροὺς ὑγιεῖς πεποιηκέναι αὐτὸν καὶ νεκροὺς ἀνεγεῖραι, ὅμοια τοῖς ὑπ' Ἀσκληπιοῦ γεγενῆσθαι λεγομένοις καὶ ταῦτα φάσκειν δόξομεν.

23. Ἵνα δὲ ἤδη καὶ τοῦτο φανερὸν ὑμῖν γένηται, ὅτι, ὁπόσα λέγομεν μαθόντες παρὰ τοῦ Χριστοῦ καὶ τῶν προελθόντων αὐτοῦ προφητῶν, μόνα ἀληθῆ ἐστὶ καὶ πρεσβύτερα πάντων τῶν γεγενημένων συγγραφέων, καὶ οὐχὶ διὰ τὸ ταὐτὰ λέγειν αὐτοῖς παραδεχθῆναι ἀξιοῦμεν, ἀλλ' ὅτι τὸ ἀληθὲς λέγομεν. καὶ Ἰησοῦς Χριστὸς μόνος ἰδίως υἱὸς τῷ θεῷ γεγέννηται, λόγος αὐτοῦ ὑπάρχων καὶ πρωτότοκος[1] καὶ δύναμις, καὶ τῇ βουλῇ αὐτοῦ γενόμενος ἄνθρωπος ταῦτα ἡμᾶς ἐδίδαξεν ἐπ' ἀλλαγῇ καὶ ἐπαναγωγῇ τοῦ ἀνθρωπείου γένους· πρὶν ἢ ἐν ἀνθρώποις αὐτὸν γενέσθαι ἄνθρωπον φθάσαντές τινες διὰ τοὺς προειρημένους κακοὺς δαίμονας, διὰ τῶν ποιητῶν ὡς γενόμενα εἶπον,

---

[1] *πρωτότ.*—This seems one of the clearest statements as to the Logos, and the two natures. A like statement, approaching to Nicene exactness, occurs in Apol. II., sect. 6—*ὁ δὲ υἱὸς ἐκείνου, ὁ μόνος λεγόμενος κυρίως υἱός, ὁ λόγος πρὸ τῶν ποιημάτων καὶ συνὼν καὶ γεννώμενος, ὅτε τὴν ἀρχὴν δι' αὐτοῦ πάντα ἔκτισε καὶ ἐκόσμησε.* ORIGEN, who is thought to have brought out more fully the eternal personality of the Son; yet, in his too anxious desire to reconcile the sacred mystery to his philosophy, held that the Son did not proceed from the essence of the Father, but as a constant ray of the divine glory, was brought forth, *i.e.*, created or begotten by the will of God, and from eternity. (The Student may here consult Hill's System, p. 377.)

ἃ μυθοποιήσαντες ἔφησαν, ὃν τρόπον καὶ τὰ καθ' ἡμῶν λεγόμενα δύσφημα καὶ ἀσεβῆ ἔργα ἐνήργησαν, ὧν οὐδεὶς μάρτυς οὐδὲ ἀπόδειξίς ἐστι, τοῦτον ἔλεγχον ποιησόμεθα.

33. Καὶ πάλιν ὡς αὐτολεξεὶ διὰ παρθένου μὲν τεχθησόμενος διὰ τοῦ Ἠσαΐου προεφητεύθη, ἀκούσατε. Ἐλέχθη δὲ οὕτως· Ἰδοὺ ἡ παρθένος ἐν γαστρί ἕξει καὶ τέξεται υἱόν, καὶ ἐροῦσιν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, Μεθ' ἡμῶν ὁ θεός. Ἃ γὰρ ἦν ἄπιστα καὶ ἀδύνατα νομιζόμενα παρὰ τοῖς ἀνθρώποις γενήσεσθαι, ταῦτα ὁ θεὸς προεμήνυσε διὰ τοῦ προφητικοῦ πνεύματος μέλλειν γίνεσθαι, ἵν' ὅταν γένηται μὴ ἀπιστηθῇ, ἀλλ' ἐκ τοῦ προειρῆσθαι πιστευθῇ. Ὅπως δὲ μή τινες μὴ νοήσαντες τὴν δεδηλωμένην προφητείαν ἐγκαλέσωσιν ἡμῖν, ἅπερ ἐνεκαλέσαμεν τοῖς ποιηταῖς, εἰποῦσιν ἀφροδισίων χάριν ἐληλυθέναι ἐπὶ γυναῖκας τὸν Δία, διασαφῆσαι τοὺς λόγους πειρασώμεθα. Τὸ οὖν· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, σημαίνει οὐ συνουσιασθεῖσαν τὴν παρθένον συλλαβεῖν. Εἰ γὰρ ἐσυνουσιάσθη ὑπὸ ὁτουοῦν, οὐκ ἔτι ἦν παρθένος· ἀλλὰ δύναμις θεοῦ ἐπελθοῦσα τῇ παρθένῳ ἐπεσκίασαν αὐτήν, καὶ κυοφορῆσαι παρθένον οὖσαν πεποίηκε. Καὶ ὁ ἀποσταλεὶς καὶ πρὸς αὐτὴν τὴν παρθένον κατ' ἐκεῖνο τοῦ καιροῦ ἄγγελος θεοῦ εὐηγγελίσατο αὐτὴν εἰπών· Ἰδοὺ συλλήψῃ ἐν γαστρὶ ἐκ πνεύματος ἁγίου καὶ τέξῃ υἱόν, καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, ὡς οἱ ἀπομνημονεύσαντες πάντα τὰ περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐδίδαξαν, οἷς ἐπιστεύσαμεν, ἐπειδὴ καὶ διὰ Ἠσαΐου τοῦ προδεδηλωμένου τὸ προφητικὸν πνεῦμα τοῦτον γενησόμενον ὡς προεμηνύομεν ἔφη. Τὸ πνεῦμα οὖν καὶ τὴν δύναμιν τὴν παρὰ τοῦ θεοῦ οὐδὲν ἄλλο νοῆσαι θέμις, ἢ τὸν λόγον,[1] ὃς καὶ πρωτότοκος τῷ θεῷ ἐστί, ὡς Μωσῆς ὁ προδεδηλωμένος προφήτης ἐμήνυσε. Καὶ τοῦτο ἐλθὸν ἐπὶ τὴν παρθένον καὶ ἐπισκιάσαν οὐ διὰ συνουσίας, ἀλλὰ διὰ δυνάμεως, ἐγκύμονα κατέστησε. Τὸ δὲ Ἰησοῦς, ὄνομα τῇ Ἑβραΐδι φωνῇ, σωτὴρ τῇ Ἑλληνίδι διαλέκτῳ δηλοῖ. Ὅθεν καὶ ὁ ἄγγελος πρὸς τὴν παρθένον εἶπε· Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ

[1] Some confounding of the personalities here.

τῶν ἁμαρτιῶν αὐτῶν. Ὅτι δὲ οὐδενὶ ἄλλῳ θεοφοροῦνται οἱ προφητεύοντες εἰ μὴ λόγῳ θείῳ, καὶ ὑμεῖς, ὡς ὑπολαμβάνω, φήσετε.

35. * * * * * Καὶ πάλιν ἐν ἄλλοις λόγοις δι' ἑτέρου προφήτου λέγει· Αὐτοὶ ὤρυξάν μοῦ πόδας καὶ χεῖρας, καὶ ἔβαλον κλῆρον ἐπὶ τὸν ἱματισμόν μου. Καὶ ὁ μὲν Δαβὶδ ὁ βασιλεὺς καὶ προφήτης, ὁ εἰπὼν ταῦτα, οὐδὲν τούτων ἔπαθεν· Ἰησοῦς δὲ Χριστὸς ἐξετάθη τὰς χεῖρας, σταυρωθεὶς ὑπὸ τῶν Ἰουδαίων ἀντιλεγόντων αὐτῷ καὶ φασκόντων μὴ εἶναι αὐτὸν Χριστόν. Καὶ γάρ, ὡς εἶπεν ὁ προφήτης, διασύροντες αὐτὸν ἐκάθισαν ἐπὶ βήματος καὶ εἶπον· Κρῖνον ἡμῖν. Τὸ δέ· Ὤρυξάν μου χεῖρας καὶ πόδας, ἐξήγησις τῶν ἐν τῷ σταυρῷ παγέντων ἐν ταῖς χερσὶ καὶ τοῖς ποσὶν αὐτοῦ ἥλων ἦν. Καὶ μετὰ τὸ σταυρῶσαι αὐτὸν ἔβαλον κλῆρον ἐπὶ τὸν ἱματισμὸν αὐτοῦ, καὶ ἐμερίσαντο ἑαυτοῖς οἱ σταυρώσαντες αὐτόν. Καὶ ταῦτα ὅτι γέγονε, δύνασθε μαθεῖν ἐκ τῶν ἐπὶ Ποντίου Πιλάτου γενομένων ἄκτων.[1]

43. Ὅπως δὲ μή τινες ἐκ τῶν προλελεγμένων ὑφ' ἡμῶν δοξάσωσι, καθ' εἱμαρμένης ἀνάγκην φάσκειν ἡμᾶς τὰ γινόμενα γίνεσθαι ἐκ τοῦ προειπεῖν προεγνωσμένα, καὶ τοῦτο διαλύομεν. Τὰς τιμωρίας καὶ τὰς κολάσεις καὶ τὰς ἀγαθὰς ἀμοιβὰς κατ' ἀξίαν τῶν πράξεων ἑκάστου ἀποδίδοσθαι διὰ τῶν προφητῶν μαθόντες, καὶ ἀληθὲς ἀποφαινόμεθα. Ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, ἀλλὰ καθ' εἱμαρμένην πάντα γίνεται, οὔτε τὸ ἐφ' ἡμῖν ἐστὶν ὅλως. Εἰ γὰρ εἵμαρται τόνδε τινὰ ἀγαθὸν εἶναι καὶ τόνδε φαῦλον, οὔθ' οὗτος ἀπόδεκτος οὔδ' ἐκεῖνος μεμπτέος. Καὶ αὖ, εἰ μὴ προαιρέσει ἐλευθέρᾳ πρὸς τὸ φεύγειν τὰ αἰσχρὰ καὶ αἱρεῖσθαι τὰ καλὰ δύναμιν ἔχει τὸ ἀνθρώπειον γένος, ἀναίτιόν ἐστι τῶν ὁπωσδήποτε πραττομένων. Ἀλλ' ὅτι ἐλευθέρᾳ προαιρέσει καὶ κατορθοῖ καὶ σφάλλεται, οὕτως ἀποδείκνυμεν. Τὸν αὐτὸν ἄνθρωπον τῶν ἐναντίων τὴν

---

[1] ἄκτων.—Justin refers here, as Tertullian also does in his Apology, to certain "Acts of Pilate," or records transmitted to Tiberius—a document which Lardner inclines to regard as authentic; others doubt, as Lord Hailes, who observes that Justin refers to these acts, not as if he had read or considered them, but merely from a notion that they might have existed, and might have contained circumstances favourable to his argument. Neither does Tertullian say that he had seen them.—*Remains of Christian Antiq.*

μετέλευσιν ποιούμενον ὁρῶμεν. Εἰ δὲ εἵμαρτο ἢ φαῦλον ἢ σπουδαῖον εἶναι, οὐκ ἄν ποτε τῶν ἐναντίων δεκτικὸς ἦν καὶ πλειστάκις μετετίθετο· ἀλλ' οὐδ' οἱ μὲν ἦσαν σπουδαῖοι, οἱ δὲ φαῦλοι, ἐπεὶ τὴν εἱμαρμένην αἰτίαν φαύλων καὶ ἐναντία ἑαυτῇ πράττουσαν ἀποφαινόμεθα,[1] ἢ ἐκεῖνο τὸ προειρημένον δόξαι ἀληθὲς εἶναι, ὅτι οὐδέν ἐστιν ἀρετὴ οὐδὲ κακία, ἀλλὰ δόξῃ μόνον ἢ ἀγαθὰ ἢ κακὰ νομίζεται, ἥπερ, ὡς δείκνυσιν ὁ ἀληθὴς λόγος, μεγίστη ἀσέβεια καὶ ἀδικία ἐστίν. Ἀλλ' εἱμαρμένην φαμὲν ἀπαράβατον ταύτην εἶναι, τοῖς τὰ καλὰ ἐκλεγομένοις τὰ ἄξια ἐπιτίμια, καὶ τοῖς ὁμοίως τὰ ἐναντία τὰ ἄξια ἐπίχειρα. Οὐ γὰρ ὥσπερ τὰ ἄλλα, οἷον δένδρα καὶ τετράποδα, μηδὲν δυνάμενα προαιρέσει πράττειν, ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· οὐδὲ γὰρ ἦν ἄξιος ἀμοιβῆς ἢ ἐπαίνου, οὐκ ἀφ' ἑαυτοῦ ἑλόμενος τὸ ἀγαθόν, ἀλλὰ τοῦτο γενόμενος, οὐδ', εἰ κακὸς ὑπῆρχε, δικαίως κολάσεως ἐτύγχανεν, οὐκ ἀφ' ἑαυτοῦ τοιοῦτος ὤν, ἀλλ' οὐδὲν δυνάμενος εἶναι ἕτερον παρ' ὃ ἐγεγόνει.

44. Ἐδίδαξε δὲ ἡμᾶς ταῦτα τὸ ἅγιον προφητικὸν πνεῦμα, διὰ Μωσέως φῆσαν[2] * * * * * * * Καὶ πάντα ὅσα περὶ ἀθανασίας ψυχῆς ἢ τιμωριῶν τῶν μετὰ θάνατον ἢ θεωρίας οὐρανίων ἢ τῶν ὁμοίων δογμάτων καὶ φιλόσοφοι καὶ ποιηταὶ ἔφασαν, παρὰ τῶν προφητῶν τὰς ἀφορμὰς λαβόντες καὶ νοῆσαι δεδύνηνται καὶ ἐξηγήσαντο. Ὅθεν παρὰ πᾶσι σπέρματα[2] ἀληθείας δοκεῖ εἶναι· ἐλέγχονται δὲ μὴ ἀκριβῶς νοήσαντες, ὅταν ἐναντία αὐτοὶ ἑαυτοῖς λέγωσιν. Ὥστε ὅ φαμεν, πεπροφητεῦσθαι τὰ μέλλοντα γίνεσθαι, οὐ διὰ τὸ εἱμαρμένης ἀνάγκῃ πράττεσθαι λέγομεν, ἀλλὰ προγνώστου τοῦ θεοῦ ὄντος τῶν μελλόντων ὑπὸ πάντων ἀνθρώπων πραχθήσεσθαι, καὶ δόγματος ὄντος παρ' αὐτῶν κατ' ἀξίαν τῶν πράξεων ἕκαστον ἀμείψεσθαι μέλλοντα τῶν ἀνθρώπων, καὶ τὰ παρ' αὐτοῦ κατ' ἀξίαν τῶν πραττομένων ἀπαντήσεσθαι διὰ τοῦ προφητικοῦ πνεύματος προλέγει, εἰς ἐπίτασιν καὶ ἀνάμνησιν ἀεὶ ἄγων τὸ τῶν ἀνθρώπων γένος, δεικνὺς ὅτι καὶ μέλον ἐστὶν αὐτῷ καὶ προνοεῖται αὐτῶν. Κατ' ἐνέργειαν δὲ

---

[1] Another reading is ἀποφαινοίμεθα.

[2] See note at sect. 11, Dial.

τῶν φαύλων δαιμόνων θάνατος ὡρίσθη κατὰ τῶν τὰς Ὑστάσπου ἢ Σιβύλλης ἢ τῶν προφητῶν βίβλους ἀναγινωσκόντων, ὅπως διὰ τοῦ φόβου ἀποστρέψωσιν ἐντυγχάνοντας τοὺς ἀνθρώπους τῶν καλῶν γνῶσιν λαβεῖν, αὐτοῖς δὲ δουλεύοντας κατέχωσιν· ὅπερ εἰς τέλος οὐκ ἴσχυσαν πρᾶξαι. Ἀφόβως μὲν γὰρ οὐ μόνον ἐντυγχάνομεν αὐταῖς, ἀλλὰ καὶ ὑμῖν, ὡς ὁρᾶτε, εἰς ἐπίσκεψιν φέρομεν, ἐπιστάμενοι πᾶσιν εὐάρεστα φανήσεσθαι. Κἂν ὀλίγους δὲ πείσωμεν, τὰ μέγιστα κερδήσαντες ἐσόμεθα· ὡς γεωργοὶ γὰρ ἀγαθοὶ παρὰ τοῦ δεσπόζοντος τὴν ἀμοιβὴν ἕξομεν.

61. Ὃν τρόπον δὲ καὶ ἀνεθήκαμεν ἑαυτοὺς τῷ θεῷ καινοποιηθέντες διὰ τοῦ Χριστοῦ, ἐξηγησόμεθα, ὅπως μὴ τοῦτο παραλιπόντες δόξωμεν πονηρεύειν τι ἐν τῇ ἐξηγήσει. Ὅσοι ἂν πεισθῶσι καὶ πιστεύωσιν ἀληθῆ ταῦτα τὰ ὑφ' ἡμῶν διδασκόμενα καὶ λεγόμενα εἶναι, καὶ βιοῦν οὕτως δύνασθαι ὑπισχνῶνται, εὔχεσθαί τε καὶ αἰτεῖν νηστεύοντες παρὰ τοῦ θεοῦ τῶν προημαρτημένων ἄφεσιν διδάσκονται, ἡμῶν συνευχομένων καὶ συννηστευόντων αὐτοῖς. Ἔπειτα ἄγονται ὑφ' ἡμῶν ἔνθα ὕδωρ ἐστί, καὶ τρόπον ἀναγεννήσεως, ὃν καὶ ἡμεῖς αὐτοὶ ἀνεγεννήθημεν, ἀναγεννῶνται· ἐπ' ὀνόματος γὰρ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου θεοῦ καὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ πνεύματος ἁγίου τὸ ἐν τῷ ὕδατι τότε λουτρὸν ποιοῦνται.* * * * * * * ὅπως μὴ ἀνάγκης τέκνα μηδὲ ἀγνοίας μένωμεν, ἀλλὰ προαιρέσεως καὶ ἐπιστήμης, ἀφέσεώς τε ἁμαρτιῶν ὑπὲρ ὧν προημάρτομεν τύχωμεν ἐν τῷ ὕδατι, ἐπονομάζεται τῷ ἑλομένῳ ἀναγεννηθῆναι καὶ μετανοήσαντι ἐπὶ τοῖς ἡμαρτημένοις τὸ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου Θεοῦ ὄνομα, αὐτὸ τοῦτο μόνον ἐπιλέγοντος τοῦ τὸν λουσόμενον ἄγοντος ἐπὶ τὸ λουτρόν· ὄνομα γὰρ τῷ ἀῤῥήτῳ θεῷ οὐδεὶς ἔχει εἰπεῖν· εἰ δέ τις τολμήσειεν εἶναι λέγειν, μέμηνε τὴν ἄσωτον μανίαν. Καλεῖται δὲ τοῦτο τὸ λουτρὸν φωτισμός, ὡς φωτιζομένων τὴν διάνοιαν τῶν ταῦτα μανθανόντων. Καὶ ἐπ' ὀνόματος δὲ Ἰησοῦ Χριστοῦ, του σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, καὶ ἐπ' ὀνόματος πνεύματος ἁγίου, ὃ διὰ τῶν προφητῶν προεκήρυξε τὰ κατὰ τὸν Ἰησοῦν πάντα, ὁ φωτιζόμενος[1] λούεται.

---

[1] *φωτιζόμενος, i.e.*, baptizandus. Baptizatus autem vocatur *φωτισθείς*, sect 65.—OTTO. The early writers, Greek and Latin, often apply this

63. Ἰουδαῖοι δὲ πάντες καὶ νῦν διδάσκουσι τὸν ἀνωνόμαστον θεὸν λελαληκέναι τῷ Μωσεῖ, ὅθεν τὸ προφητικὸν πνεῦμα διὰ Ἡσαΐου τοῦ προμεμηνυμένου προφήτου ἐλέγχον αὐτούς, ὡς προεγράψαμεν, εἶπεν· Ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω καὶ ὁ λαός με οὐ συνῆκε. Καὶ Ἰησοῦς δὲ ὁ Χριστός, ὅτι οὐκ ἔγνωσαν Ἰουδαῖοι τί πατὴρ καὶ τί υἱός, ὁμοίως ἐλέγχων αὐτοὺς καὶ αὐτὸς εἶπεν· Οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱός, οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ καὶ οἷς ἂν ἀποκαλύψῃ ὁ υἱός. Ὁ λόγος δὲ τοῦ θεοῦ ἐστὶν ὁ υἱὸς αὐτοῦ, ὡς προέφημεν. Καὶ ἄγγελος δὲ καλεῖταί καὶ ἀπόστολος· αὐτὸς γὰρ ἀπαγγέλλει ὅσα δεῖ γνωσθῆναι, καὶ ἀποστέλλεται μηνύσων ὅσα ἀγγέλλεται, ὡς καὶ αὐτὸς ὁ κύριος ἡμῶν εἶπεν· Ὁ ἐμοῦ ἀκούων, ἀκούει τοῦ ἀποστείλαντός με. Καὶ ἐκ τῶν τοῦ Μωυσέως δὲ συγγραμμάτων φανερὸν τοῦτο γενήσεται. Λέλεκται δὲ ἐν αὐτοῖς οὕτως· Καὶ ἐλάλησε Μωσεῖ ἄγγελος θεοῦ ἐν φλογὶ πυρὸς ἐκ τῆς βάτου καὶ εἶπεν· Ἐγώ εἰμι ὁ ὤν, θεὸς Ἀβραάμ, θεὸς Ἰσαάκ, θεὸς Ἰακώβ, ὁ θεὸς τῶν πατέρων σου, Κάτελθε εἰς Αἴγυπτον καὶ ἐξάγαγε τὸν λαόν μου. Τὰ δ' ἑπόμενα ἐξ ἐκείνων βουλόμενοι μαθεῖν δύνασθε· οὐ γὰρ δυνατὸν ἐν τούτοις ἀναγράψαι πάντα. Ἀλλ' εἰς ἀπόδειξιν γεγόνασιν οἵδε οἱ λόγοι, ὅτι υἱὸς θεοῦ καὶ ἀπόστολος Ἰησοῦς ὁ Χριστός ἐστι, πρότερον λόγος ὤν, καὶ ἐν ἰδέᾳ πυρὸς ποτὲ φανείς, ποτὲ δὲ καὶ ἐν εἰκόνι ἀσωμάτων·[1] νῦν δὲ διὰ θελήματος θεοῦ ὑπὲρ τοῦ ἀνθρωπείου γένους ἄνθρωπος γενόμενος ὑπέμεινε καὶ παθεῖν ὅσα αὐτὸν ἐνήργησαν οἱ δαίμονες διατεθῆναι ὑπὸ τῶν ἀνοήτων Ἰουδαίων. Οἵτινες ἔχοντες ῥητῶς εἰρημένον ἐν τοῖς Μωσέως συντάγμασι· Καὶ ἐλάλησεν ἄγγελος τοῦ θεοῦ τῷ Μωσεῖ ἐν πυρὶ φλογὸς ἐν βάτῳ καὶ

---

word, or "illumino" to baptism. Greg. Ny. says, *τῷ βαπτίσματι φωτίζεσθαι*, to be illuminated with the light of baptism. Clement of Alexandria, *φωτισμὸς ἡ μαθητεία κέκληται.* The council of Laodicea appoints (Can. 46) *ὅτι δεῖ τοὺς φωτιζομένους, τὴν πίστιν ἐκμανθάνειν*, on which Zonaras commenting says, "*Κελεύει, τοὺς φωτιζομένους, ἤτοι τοὺς πρὸς τὸ φώτισμα ἑτοιμαζομένους καὶ κατηχουμένους, τὸ μυστήριον τῆς πίστεως ἐκμανθάνειν.*" Dionysius (Areop.) as quoted by SUICER, puts illumination before baptism: "*Δεῖ φωτίζεσθαι τῇ γνώσει τῶν θεοπνεύστων γραφῶν τὰ περὶ Θεογνωσίας δόγματα, καὶ τότε τελειοῦσθαι τῷ τῆς παλιγγενεσίας λουτρῷ.* Doubtless, we see very early the outward sign identified with the inward grace. So of *regeneration* in this same section.

[1] *ἀσωμάτων*—angels.

εἶπεν· Ἐγώ εἰμι ὁ ὤν, ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ, τὸν τῶν ὅλων πατέρα καὶ δημιουργὸν τὸν ταῦτα εἰπόντα λέγουσιν εἶναι. Ὅθεν καὶ τὸ προφητικὸν πνεῦμα ἐλέγχον αὐτοὺς εἶπεν· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκε. Καὶ πάλιν ὁ Ἰησοῦς, ὡς ἐδηλώσαμεν, παρ' αὐτοῖς ὢν εἶπεν· Οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱός, οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ καὶ οἷς ἂν ὁ υἱὸς ἀποκαλύψῃ. Ἰουδαῖοι οὖν ἡγησάμενοι ἀεὶ τὸν πατέρα τῶν ὅλων λελαληκέναι τῷ Μωσεῖ, τοῦ λαλήσαντος αὐτῷ ὄντος υἱοῦ τοῦ θεοῦ, ὃς καὶ ἄγγελος καὶ ἀπόστολος κέκληται, δικαίως ἐλέγχονται καὶ διὰ τοῦ προφητικοῦ πνεύματος καὶ δι' αὐτοῦ τοῦ Χριστοῦ, ὡς οὔτε τὸν πατέρα οὔτε τὸν υἱὸν ἔγνωσαν. Οἱ γὰρ τὸν υἱὸν πατέρα φάσκοντες εἶναι, ἐλέγχονται μήτε τὸν πατέρα ἐπιστάμενοι, μήθ' ὅτι ἐστὶν υἱὸς τῷ πατρὶ τῶν ὅλων γινώσκοντες· ὃς καὶ λόγος πρωτότοκος ὢν τοῦ θεοῦ καὶ θεὸς ὑπάρχει.

65. Ἡμεῖς δὲ μετὰ τὸ οὕτως λοῦσαι[1] τὸν πεπεισμένον καὶ συγκατατεθειμένον ἐπὶ τοὺς λεγομένους ἀδελφοὺς ἄγομεν, ἔνθα συνηγμένοι εἰσὶ, κοινὰς εὐχὰς ποιησόμενοι ὑπέρ τε ἑαυτῶν καὶ τοῦ φωτισθέντος[2] καὶ ἄλλων πανταχοῦ πάντων εὐτόνως, ὅπως, καταξιωθῶμεν τὰ ἀληθῆ μαθόντες καὶ δι' ἔργων ἀγαθοὶ πολιτευταὶ καὶ φύλακες τῶν ἐντεταλμένων εὑρεθῆναι, ὅπως τὴν αἰώνιον σωτηρίαν σωθῶμεν. Ἀλλήλους φιλήματι ἀσπαζόμεθα παυσάμενοι τῶν εὐχῶν. Ἔπειτα προσφέρεται[3] τῷ προεστῶτι[4] τῶν ἀδελφῶν ἄρτος καὶ ποτήριον ὕδατος καὶ

---

[1] λοῦσαι, *i.e.* after the baptism with water, in the name of the Father, Son, and Holy Ghost, as described in section 61.

[2] Baptism, called *φωτισμός*. See note at sect. 61.

[3] *προσφορά* came to denote the Lord's Supper thus: the members of the church brought bread and wine as free gifts, from which were taken the elements for the celebration of the eucharist. These gifts were regarded as the spiritual thank offerings of the Christians. The idea of a sacrifice in the Supper of the Lord was at first barely symbolical; and originally this idea had no reference to the sacrifice of Christ.—NEANDER's Church Hist., sect. iii. The term may be taken here in its simplest sense.

[4] *προεστῶτι*—the presiding pastor. The term is sometimes in early writings, as here, applied to the minister who dispenses the ordinances, sometimes to the bishop in distinction from the pastor. IRENÆUS, a little later, applies it sometimes in the general, sometimes in the specific sense. The word as occurring here came into the discussion between Archbishop WHITGIFT and CARTWRIGHT. The former explained the word of the bishop or chief presbyter, though admitting that the term is appiied in Tim. v., 17, to the elders or presbyters in general. CARTWRIGHT's argument is, "If this

κράματος,[1] καὶ οὗτος λαβὼν αἶνον καὶ δόξαν τῷ πατρὶ τῶν ὅλων διὰ τοῦ ὀνόματος τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου ἀναπέμπει καὶ εὐχαριστίαν ὑπὲρ τοῦ κατηξιῶσθαι τούτων παρ᾽ αὐτοῦ ἐπὶ πολὺ ποιεῖται· οὗ συντελέσαντος τὰς εὐχὰς καὶ τὴν εὐχαριστίαν πᾶς ὁ παρὼν λαὸς ἐπευφημεῖ λέγων· Ἀμήν. Τὸ δὲ ἀμὴν τῇ Ἑβραΐδι φωνῇ τὸ γένοιτο σημαίνει. Εὐχαριστήσαντος δὲ τοῦ προεστῶτος, καὶ ἐπευφημήσαντος παντὸς τοῦ λαοῦ, οἱ καλούμενοι παρ᾽ ἡμῖν διάκονοι διδόασιν ἑκάστῳ τῶν παρόντων μεταλαβεῖν ἀπὸ τοῦ εὐχαριστηθέντος ἄρτου καὶ οἴνου καὶ ὕδατος καὶ τοῖς οὐ παροῦσιν ἀποφέρουσι.[2]

66. Καὶ ἡ τροφὴ αὕτη καλεῖται παρ᾽ ἡμῖν εὐχαριστία, ἧς οὐδενὶ ἄλλῳ μετασχεῖν ἐξόν ἐστιν, ἢ τῷ πιστεύοντι ἀληθῆ εἶναι τὰ δεδιδαγμένα ὑφ᾽ ἡμῶν, καὶ λουσαμένῳ τὸ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ εἰς ἀναγέννησιν λουτρὸν, καὶ οὕτως βιοῦντι ὡς ὁ Χριστός παρέδωκεν. Οὐ γὰρ ὡς κοινὸν ἄρτον οὐδὲ κοινὸν πόμα ταῦτα λαμβάνομεν, ἀλλ᾽ ὃν τρόπον διὰ λόγου θεοῦ σαρκοποιηθεὶς Ἰησοῦς Χριστὸς ὁ σωτὴρ ἡμῶν καὶ σάρκα

---

place of JUSTIN make for an archbishop, then instead of an archbishop in every province, we shall have one in every congregation. For JUSTIN declareth there the liturgy or manner of serving God that was in every church used of the Christians. And I pray you, let it be considered what is the office of that προεστὼς * * he placeth his office to be in preaching, in conceiving prayers, in ministering of the sacraments: of any commandment which he had over the rest of the ministry he maketh not one word. It may be that the same might have the pre-eminence of calling the rest together, and propounding the matter to the rest of the company, as is before declared. * * If you had read the whole treatise, you should have found that he was προεστώς of the people; for this is written in the same apology—ἔπειτα προσφέρεται τῷ προεστῶτι τῶν ἀδελφῶν ἄρτος." The able Puritan champion adds, "and albeit things were in great purity in the days JUSTIN lived, yet, as there was in other things which appear in his works, and even in the ministration of the sacraments spoken of in that place, corruption, in that they mingled water and wine together; so even in the ministry, there began to peep out something which went from the simplicity of the Gospel, as that the name of προεστώς, which was common to the elders with the ministers of the word, was, as it seemeth, appropriated unto one."

[1] κράματος—explained in section 67—ἄρτου καὶ οἴνου καὶ ὕδατος. Particula καὶ, ante κράματος, est epexegetice dicta: calix aquæ et quidem vini aquâ mixti. Trollopius solvit: ὕδατος οἴνῳ κεκραμμένου.—OTTO. An ancient usage, which was possibly merely at first a compliance with the eastern custom of using wine thus diluted, but soon had mystery attached to it.

[2] ἀποφέρουσι.—Persons who from sickness or other causes were unable to attend had portions of the consecrated bread sent to them. It is also noticed in Irenæus and Eusebius that the Presbyters of one church sent to another, in token of fellowship. The practice was discouraged by the council of Laodicea, as also the having the agapæ in churches.

καὶ αἷμα ὑπὲρ σωτηρίας ἡμῶν ἔσχεν, οὕτως καὶ τὴν δι' εὐχῆς λόγου τοῦ παρ' αὐτου εὐχαριστηθεῖσαν τροφήν, ἐξ ἧς αἷμα καὶ σάρκες κατὰ μεταβολὴν[1] *τρέφονται ἡμῶν, ἐκείνου τοῦ σάρκοποιηθέντος Ἰησοῦ καὶ σάρκα καὶ αἷμα ἐδιδάχθημεν εἶναι. Οἱ γὰρ ἀπόστολοι ἐν τοῖς γενομένοις ὑπ' αὐτῶν ἀπομνημονεύμασιν, ἃ καλεῖται εὐαγγέλια, οὕτως· παρέδωκαν ἐντετάλθαι αὐτοῖς τὸν Ἰησοῦν, λαβόντα ἄρτον εὐχαριστήσαντα εἰπεῖν· Τοῦτο ποιεῖτε εἰς τὴν ἀνάμνησίν μου, τουτέστι τὸ σῶμά μου· καὶ τὸ ποτήριον ὁμοίως λαβὸντα καὶ εὐχαριστήσαντα εἰπεῖν· Τοῦτό ἐστι αἷμά μου, καὶ μόνοις αὐτοῖς μεταδοῦναι. Ὅπερ καὶ ἐν τοῖς τοῦ Μίθρα μυστηρίοις παρέδωκαν γίνεσθαι μιμησάμενοι οἱ πονηροὶ δαίμονες· ὅτι γὰρ ἄρτος καὶ ποτήριον ὕδατος τίθεται ἐν ταῖς τοῦ μυουμένου τελεταῖς μετ' ἐπιλόγων τινῶν, ἢ ἐπίστασθε ἢ μαθεῖν δύνασθε.*

67. *Ἡμεῖς δὲ μετὰ ταῦτα λοιπὸν ἀεὶ τούτων ἀλλήλους ἀναμιμνήσκομεν· καὶ οἱ ἔχοντες τοῖς λειπομένοις πᾶσιν ἐπικουροῦμεν, καὶ σύνεσμεν ἀλλήλοις ἀεί.*[2] *Ἐπὶ πᾶσί τε οἷς προσφερόμεθα εὐλογοῦμεν τον ποιητὴν τῶν πάντων διὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ διὰ πνεύματος τοῦ ἁγίου. Καὶ τῇ τοῦ ἡλίου*[3] *λεγομένῃ ἡμέρᾳ πάντων κατὰ πόλεις ἢ ἀγροὺς μενόντων ἐπὶ*

---

[1] *μεταβολὴν.*—This word was early applied to the Lord's Supper, but in a figurative sense. It was also applied later in this figurative sense to the baptismal water.—GIESELER II., 47. The bread was *changed* from a common to a spiritual use. We see no adoration of the host. It is an ordinance of thanksgiving. No notice here of the agapæ as connected with the Lord's Supper. Though early found together, as at Corinth, they may now have been separated, owing to irregularities, or may never have been united in the churches Justin had in view.—NEANDER. For a description of the *ἀγαπη*, as observed afterwards, see Tertull. Apol., 39.

[2] In the former section JUSTIN states that the eucharist was connected with the baptism of converts; now he exhibits the mode of worship at their regular weekly assembling.

[3] *ἡλίου ἡμέρα.*—An interesting proof of the first day, as Lord's day, being recognised in the second century: still more distinctly called Lord's day in a letter of DIONYSIUS of Corinth; see EUSEBIUS. The fathers generally called it Lord's day. The other name probably given in compliance with the usual mode of speech—though this also led to evil. TERTULLIAN had to defend the Christians against the aspersion that they worshipped the sun. JEROME says, the day was called Sunday because the Sun of Righteousness arose on that day. JUSTIN gives a like reason here for meeting on the first day of the week. The fathers were not without care to guard on such matters. It has been thought that their reason for calling Friday the day before Saturday (see next page) was to show how they detested the worship of Venus, to which Friday was dedicated.—GRABE; RIDGLEY.

τὸ αὐτὸ συνέλευσις γίνεται, καὶ τὰ ἀπομνημονεύματα[1] τῶν ἀποστόλων ἢ τὰ συγγράμματα τῶν προφητῶν ἀναγινώσκεται μέχρις ἐγχωρεῖ. Εἶτα παυσαμένου τοῦ ἀναγινώσκοντος ὁ προεστὼς[2] διὰ λόγου τὴν νουθεσίαν καὶ πρόκλησιν τῆς τῶν καλῶν τούτων μιμήσεως ποιεῖται. Ἔπειτα ἀνιστάμεθα κοινῇ πάντες καὶ εὐχὰς πέμπομεν. Καί, ὡς προέφημεν, παυσαμένων ἡμῶν τῆς εὐχῆς ἄρτος προσφέρεται καὶ οἶνος καὶ ὕδωρ, καὶ ὁ προεστὼς εὐχὰς ὁμοίως καὶ εὐχαριστίας, ὅση δύναμις[3] αὐτῷ, ἀναπέμπει, καὶ ὁ λαὸς ἐπευφημεῖ λέγων τὸ ἀμήν· καὶ ἡ διάδοσις καὶ ἡ μετάληψις ἀπὸ τῶν εὐχαριστηθέντων ἑκάστῳ γίνεται καὶ τοῖς οὐ παροῦσι διὰ τῶν διακόνων πέμπεται. Οἱ εὐποροῦντες δὲ καὶ βουλόμενοι κατὰ προαίρεσιν ἕκαστος τὴν ἑαυτοῦ ὃ βούλεται δίδωσι, καὶ τὸ συλλεγόμενον παρὰ τῷ προεστῶτι ἀποτίθεται, καὶ αὐτὸς ἐπικουρεῖ ὀρφανοῖς τε καὶ χήραις, καὶ τοῖς διὰ νόσον ἢ δι' ἄλλην αἰτίαν λειπομένοις, καὶ τοῖς ἐν δεσμοῖς οὖσι, καὶ τοῖς παρεπιδήμοις οὖσι ξένοις, καὶ ἁπλῶς πᾶσι τοῖς ἐν χρείᾳ οὖσι κηδεμὼν γίνεται. Τὴν δὲ τοῦ ἡλίου ἡμέραν κοινῇ πάντες τὴν συνέλευσιν ποιούμεθα, ἐπειδὴ πρώτη ἐστὶν ἡμέρα, ἐν ᾗ ὁ θεὸς τὸ σκότος καὶ τὴν ὕλην τρέψας κόσμον ἐποίησε. καὶ Ἰησοῦς Χριστὸς ὁ ἡμέτερος σωτὴρ τῇ αὐτῇ ἡμέρᾳ ἐκ νεκρῶν ἀνέστη· τῇ γὰρ πρὸ τῆς κρονικῆς[4] ἐσταύρωσαν αὐτὸν, καὶ τῇ μετὰ τὴν κρονικήν, ἥτις ἐστὶν ἡλίου ἡμέρα, φανεὶς τοῖς ἀποστόλοις αὐτοῦ καὶ μαθηταῖς ἐδίδαξε ταῦτα, ἅπερ εἰς ἐπίσκεψιν καὶ ὑμῖν ἀνεδώκαμεν.

---

[1] *ἀπομνημονεύματα.*—The received Gospels, as explained in section 66.

[2] *ὁ προεστὼς εὐχας*, &c.—"Vain," says Dr. Owen, "is the pretence of some that in the primitive times they consecrated the elements by the repetition of the Lord's Prayer only." In proceeding to the eucharist, he observes, the presiding elder or bishop—for in this church Justin mentions only two sorts of offices, president and deacon—prayed at large, giving thanks to God. The whole simple Sabbath service consisted of prayer first; then reading of the scriptures and exhortation; then the consecration of the eucharist; then prayer again and the people's loud assent or acclaim. Notice is also taken of the kiss of charity, and of the collection for the poor widows, orphans, strangers, and captives. Praise, of course, as Pliny to Trajan describes—and see also sect. 13 of this Apology—*αἰνοῦντες—ὕμνους*, &c.

[3] *ὅση δύναμις.*—This, as also a like expression in Tertullian, has not been overlooked in the argument against fixed liturgies.—Owen on Churches; Dick's Theology, Lect. 94. The adoption of Liturgies belongs to the *fourth* century.—Gieseler.

[4] See note 3 of preceding page.

68. Καὶ εἰ μὲν δοκεῖ ὑμῖν λογου καὶ ἀληθείας ἔχεσθαι, τιμήσατε αὐτά, εἰ δὲ λῆρος ὑμῖν δοκεῖ, ὡς ληρωδῶν πραγμάτων καταφρονήσατε, καὶ μὴ ὡς κατ' ἐχθρῶν κατὰ τῶν μηδὲν ἀδικούντων θάνατον ὁρίζετε. Προλέγομεν γὰρ ὑμῖν, ὅτι οὐκ ἐκφεύξεσθε τὴν ἐσομένην τοῦ θεοῦ κρίσιν· ἐὰν ἐπιμένητε τῇ ἀδικίᾳ, καὶ ἡμεῖς ἐπιβοήσομεν· Ὁ φίλον τῷ θεῷ, τοῦτο γενέσθω. Καὶ ἐξ ἐπιστολῆς δὲ τοῦ μεγίστου καὶ επιφανεστάτου Καίσαρος Ἀδριανοῦ τοῦ πατρός ὑμῶν, ἔχοντες ἀπαιτεῖν ὑμᾶς καθὰ ἠξιώσαμεν κελεῦσαι τὰς κρίσεις γενέσθαι, οὐκ ἐκ τοῦ κεκρῖσθαι τοῦτο ὑπὸ Ἀδριανοῦ μᾶλλον ἠξιώσαμεν, ἀλλ' ἐκ τοῦ ἐπίστασθαι δίκαια ἀξιοῦν τὴν προσφώνησιν καὶ ἐξήγησιν πεποιήμεθα. Ὑπετάξαμεν δὲ καὶ τῆς ἐπιστολῆς Ἀδριανοῦ τὸ ἀντίγραφον, ἵνα καὶ κατὰ τοῦτο ἀληθεύειν ἡμᾶς γνωρίζητε. Καὶ ἔστι τὸ ἀντίγραφον τοῦτο.

[1] Exemplum epistolae Imperatoris Adriani ad Minucium Fundanum Proconsulem Asiae.

Accepi literas ad me scriptas a decessore tuo Serenio Graniano clarissimo viro: et non placet mihi relationem silentio praeterire, ne et innoxii perturbentur, et calumniatoribus latrocinandi tribuatur occasio. Itaque si evidenter provinciales huic petitioni suae adesse valent adversum Christianos, ut pro tribunali eos in aliquo arguant, hoc eis exequi non prohibeo. Precibus autem in hoc solis et adclamationibus[2] uti, eis non permitto. Etenim multo aequius est, si quis volet accusare, te cognoscere de objectis. Si quis igitur accusat et probat adversum leges quicquam agere memoratos homines, pro merito peccatorum etiam supplicia statues. Illud mehercle magnopere curabis, ut, si quis calumniae gratia quenquam horum postulaverit reum, in hunc pro sui nequitia suppliciis saevērioribus vindices.

---

[1] On this law of Adrian, and the subsequent policy of Aurelius and Severus towards the Christians, see MOSHEIM, I. vol., cent. ii.; or NEANDER, sect. I.

[2] *Adclam.*—referring, it is thought, to the cries of the populace in the amphitheatre: "*the Christians to the lions!*" So, *Precibus*—requests or demands for their being brought out.—See TERTULLIAN.

VI. IRENÆUS.

Irenæus, by birth a Grecian, was in charge of the church at Lyons from about 170 till early in the third century. He had been an attached disciple of the sainted Polycarp of Smyrna, and is said to have been sent by him to preach the Gospel among the Gauls. After for a time assisting Pothinus, the venerable pastor at Lyons, who, while bending under years, had shared in the rigorous treatment of the church there, he succeeded him as presiding presbyter or bishop. The labours of Irenæus in Gaul were attended with great success ; Lyons became a city of Christian converts. It is said that he at length suffered death under the emperor Severus, though on this historians are not agreed. Milner believes it after Gregory of Tours ; Lardner and Cave conclude otherwise, from the omission of the fact by Eusebius. He at least endured much suffering, as well as rendered laborious service in Christ's cause.

Irenæus is best known by his writings against "the heresies." His works are for the most part only preserved in a Latin translation, through which, however, though somewhat barbarous, the eloquence of this father, as the translator of Mosheim remarks, still shines. His first book on the heresies remains in the Greek language, with other occasional pieces preserved by Eusebius and Epiphanius.

We extract a valuable document—a creed it may be termed, in which he embodies the orthodox faith, as received by the churches in those times ; also his short description of

some of the Gnostics and Ebionites. These documents are valuable to the student—enabling him to meet the misrepresentations of such as Priestley or Bauer on the opinions of the early church, as having been Unitarian, or "Monarchian."

Irenæus having also done good service by allaying undue heats in the controversy concerning the time of observing Easter, we insert a fragment of his letter to the imperious Victor, which is preserved in Greek. We extract also his letter to Florinus, one who had been, like himself, a pupil of Polycarp, but who had fallen away into the errors of Cerdo, Valentinus, and others, on the two principles, or the origin of evil. The fragment is interesting, were it but for its graphic reference to the venerated pastor of Smyrna, of whose instructions Irenæus retained so deep an impression.

Finally, as appeals have been made to this father on the subject of the Romish primacy, and apostolic descent, we have inserted some of the expressions cited on these questions, and have found room for an argument of the admirable Chillingworth, against the Romish interpretation of the "omnem convenire ecclesiam."

The extracts on the faith or creed of the church and on the Gnostic errors are from Books I. and V. of the work "against Heresies." That on the tradition and succession is from Book III. The fragments of letters are to be found in Eusebius' Eccles. H., Book V.; and are appended to Irenæus' works, fol. Oxford, 1702.

ΕΙΡΗΝΑΙΟΣ ΠΕΡΙ ΤΗΣ ΠΙΣΤΕΩΣ.

Ἡ μὲν γὰρ Ἐκκλησία, καίπερ καθ' ὅλης τῆς οἰκουμένης ἕως περάτων τῆς γῆς διεσπαρμένη,[1] παρὰ δὲ τῶν Ἀποστόλων, καὶ τῶν ἐκείνων μαθητῶν παραλαβοῦσα τὴν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, τὸν πεποιηκότα τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὰς θαλάσσας, καὶ πάντα τὰ ἐν αὐτοῖς, πίστιν· καὶ εἰς ἕνα Χριστὸν Ἰησοῦν, τὸν υἱὸν τοῦ θεοῦ, τὸν σαρκωθέντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας· καὶ εἰς Πνεῦμα ἅγιον, τὸ διὰ τῶν προφητῶν κεκηρυχὸς τὰς οἰκονομίας, καὶ τὰς ἐλεύσεις, καὶ τὴν ἐκ παρθένου γέννησιν, καὶ τὸ πάθος, καὶ τὴν ἔγερσιν ἐκ νεκρῶν καὶ τὴν ἔνσαρκον εἰς τοὺς οὐρανοὺς ἀνάληψιν τοῦ ἠγαπημένου Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, καὶ τὴν ἐκ τῶν οὐρανῶν ἐν τῇ δόξῃ τοῦ Πατρὸς παρουσίαν αὐτοῦ, ἐπὶ τὸ ἀνακεφαλαιώσασθαι τὰ πάντα, καὶ ἀναστῆσαι πᾶσαν σάρκα πάσης ἀνθρωπότητος, ἵνα Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, καὶ Θεῷ, καὶ σωτῆρι, καὶ βασιλεῖ, κατὰ τὴν εὐδοκίαν τοῦ Πατρὸς τοῦ ἀοράτου, πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται αὐτῷ, καὶ κρίσιν δικαίαν ἐν τοῖς πᾶσι ποιήσηται· τὰ μὲν πνευματικὰ τῆς πονηρίας, καὶ ἀγγέλους παραβεβηκότας, καὶ ἐν ἀποστασίᾳ γεγονότας, καὶ τοὺς ἀσεβεῖς, καὶ ἀδίκους, καὶ ἀνόμους, καὶ βλασφήμους τῶν ἀνθρώπων εἰς τὸ αἰώνιον πῦρ πέμψῃ· τοῖς δὲ δικαίοις, καὶ ὁσίοις, καὶ τὰς ἐντολὰς αὐτοῦ τετηρηκόσι, καὶ ἐν τῇ ἀγάπῃ αὐτοῦ διαμεμενηκόσι τοῖς ἀπ' ἀρχῆς, τοῖς δὲ ἐκ μετανοίας, ζωὴν χαρισάμενος, ἀφθαρσίαν δωρήσηται, καὶ δόξαν αἰωνίαν περιποιήσῃ.

[1] An interesting proof here of the rapid spread of christianity.

QUALIS EST DOCTRINA CERINTHI.

Et Cerinthus autem quidam in Asia, non à primo Deo factum esse mundum docuit, sed à virtute quadam valde separata, et distante ab ea principalitate quæ est super universa, et ignorante eum qui est super omnia Deum. Jesum autem subjecit, non ex virgine natum (impossibile enim hoc ei visum est) fuisse autem eum Josephi et Mariæ filium similiter ut reliqui omnes homines, et plus potuisse justitia, et prudentia, et sapientia ab omnibus. Et post baptismum descendisse in eum, ab ea principalitate quæ est super omnia, Christum figurâ columbæ; et tunc annunciasse incognitum Patrem, et virtutes perfecisse; in fine autem revolasse iterum Christum de Jesu, et Jesum passum esse, et resurrexisse: Christum autem impassibilem perseverasse, existentem spiritualem.

ΠΕΡΙ ΚΕΡΔΩΝΟΣ.

Κέρδων δέ τις ἀπὸ τῶν περὶ τὸν Σίμωνα τὰς ἀφορμὰς λαβὼν, καὶ ἐπιδημήσας ἐν τῇ Ῥώμῃ ἐπὶ Ὑγίνου, ἔνατον κλῆρον τῆς ἐπισκοπικῆς διαδοχῆς ἀπὸ τῶν Ἀποστόλων ἔχοντος, ἐδίδαξε τὸν ὑπὸ τοῦ νόμου καὶ προφητῶν κεκηρυγμένον Θεὸν, μὴ εἶναι πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. τὸν μὲν γὰρ γνωρίζεσθαι· τὸν δὲ ἀγνῶτα εἶναι. καὶ τὸν μὲν δίκαιον, τὸν δὲ ἀγαθὸν ὑπάρχειν.

QUÆ SUNT QUÆ MARCION DOCUERIT.

Succedens autem ei Marcion Ponticus, adampliavit doctrinam, impudoratè blasphemans eum qui à lege et Prophetis annunciatus est Deus, malorum factorem, et bellorum concupiscentem, et inconstantem quoque sententiâ, et contrarium sibi ipsum dicens: Jesum autem ab eo Patre,

qui est super mundi fabricatorem Deum, venientem in Judæam temporibus Pontii Pilati præsidis, qui fuit procurator Tiberii Cæsaris, in hominis forma manifestatum his qui in Judæ erant, dissolventem Prophetas, et Legem, et omnia opera ejus Dei qui mundum fecit, quem et Cosmocratorem dicit. Et super hæc, id quod est secundum Lucam Evangelium circumcidens, et omnia quæ sunt de generatione Domini conscripta auferens, et de doctrina sermonum Domini multa auferens, in quibus manifestissime Conditorem hujus universitatis suum Patrem confitens Dominus conscriptus est; semetipsum esse veraciorem, quàm sunt hi qui Evangelium tradiderunt Apostoli, suasit discipulis suis; non Evangelium, sed particulam Evangelii tradens eis. Similiter autem et Apostoli Pauli epistolas abscidit, auferens quæcunque manifeste dicta sunt ab Apostolo de eo Deo qui mundum fecit, quoniam hic Pater Domini nostri Jesu Christi, et quæcunque ex propheticis memorans Apostolus docuit prænunciantibus adventum Domini. Salutem autem solùm animarum esse futuram, earum quæ ejus doctrinam didicissent; corpus autem, videlicet quoniam à terra sit sumptum, impossibile esse participare salutem. Super blasphemiam autem quæ est in Deum. adjecit et hoc, verè os accipiens, et omnia contrari dicens veritati: Cain et eos qui similes sunt ei, et Sodomitas, et Ægyptios, et similes eis, et omnes omnino gentes, quæ in omni permixtione malignitatis ambulaverunt, salvatas esse à Domino, cum descendisset ad inferos, et accurrissent ei, et in suum assumpsisse regnum; Abel autem et Enoch, et Noe, et reliquos justos, et eos qui sunt erga Abraham Patriarchas, cum omnibus Prophetis, et his qui placuerunt Deo, non participasse salutem, qui in Marcione fuit serpens præconiavit. Quoniam enim sciebant, inquit, Deum suum semper tentantem eos, et tunc tentare eos suspicati, non accurrerunt Jesu, neque crediderunt annunciationi ejus: et propterea remansisse animas eorum apud inferos dixit. Sed huic quidem, quoniam et solus manifestè ausus est circumcidere Scripturas, et impudoratè super omnes obtrectare Deum,

seorsum contradicemus, ex ejus scriptis arguentes eum, et ex iis sermonibus qui apud eum observati sunt, Domini et Apostoli, quibus ipse utitur, eversionem ejus faciemus, præstante Deo.

SOLUS CHRISTUS DIVINA NOS DOCERE, AC REDIMERE, POTUIT:

IDEMQUE, UT NOS REPARARET, NON OPINIONE, SED REIPSA, SPIRITUS SANCTI OPERATIONE EX MARIA VIRGINE CARNEM ASSUMPSIT: ADVERSUS VALENTINI ET EBIONIS VANITATES.

Non enim aliter nos discere poteramus quæ sunt Dei, nisi magister noster, Verbum existens, homo factus fuisset. Neque enim alius poterat enarrare nobis quæ sunt Patris, nisi proprium ipsius Verbum. *Quis enim* alius *cognovit sensum Domini? aut quis* alius *ejus consiliarius factus est?* Neque rursus nos aliter discere poteramus, nisi magistrum nostrum videntes, et per auditum nostrum vocem ejus percipientes, uti imitatores quidem operum, factores autem sermonum ejus facti, communionem habeamus cum ipso, à perfecto, et eô qui est ante omnem conditionem, augmentum accipientes, qui nunc nuper facti sumus à solo optimo et bono. Et ab eo qui habet donationem incorruptibilitatis, in eam quæ est ad eum similitudinem, facti, prædestinati quidem ut essemus, qui nondum eramus, secundum præscientiam Patris, facti autem initium facturæ,[2] accepimus in præcognitis temporibus secundem ministrationem Verbi, qui est perfectus in omnibus, quoniam Verbum potens, et homo verus, sanguine suo rationabiliter redimens nos, redemptionem semetipsum dedit pro his, qui in captivitatem ducti sunt. Et quoniam injustè dominabatur nobis apostasia[1] et cùm naturâ essemus Dei omnipotentis,

---

[1] The abstract for concrete,—the Apostate, *i.e.*, the Devil. In book iv., Iren. says, (on Mat. xiii., 25,) "Extunc enim apostata est Angelus hic et inimicus, ex quo zelavit plasma Dei, et inimicum illum Deo facere aggressus est."

[2] See James i., 18.

alienarit nos contra naturam, suos proprios nos faciens discipulos, potens in omnibus Dei Verbum, et non deficiens in suo justitia, juste etiam adversus ipsam conversus est apostasiam, ea quæ sunt sua redimens ab eo, non cum vi, quemadmodum illa initio dominabatur nostri, ea quæ non erant sua insatiabiliter rapiens; sed secundum suadelam, quemadmodum decebat Deum suadentem, et non vim inferentem, accipere quæ vellet, ut neque quod est justum confringeretur, neque antiqua plasmatio Dei deperiret.

Τῷ ἰδίῳ οὖν αἵματι λυτρωσαμένου ἡμᾶς τοῦ κυρίου, καὶ δόντος τὴν ψυχὴν ὑπὲρ τῶν ἡμετέρων ψυχῶν, καὶ τὴν σάρκα τὴν ἑαυτοῦ ἀντὶ τῶν ἡμετέρων σαρκῶν.

Suo igitur sanguine redimente nos Domino, et dante animam suam pro nostris carnibus, et effundente Spiritum Patris in adunitionem et communionem Dei et hominum, ad homines quidem deponente Deum per Spiritum, ad Deum autem rursus imponente hominem per suam incarnationem, et firmè et verè in adventu suo donante nobis incorruptelam, per communionem quæ est ad Deum, perierunt omnes hæreticorum doctrinæ. Vani enim sunt qui putativè dicunt eum apparuisse:

Οὐ γὰρ δοκήσει ταῦτα, ἀλλ' ἐν ὑποστάσει ἀληθείας ἐγίνετο· εἰ δὲ μὴ ὢν ἄνθρωπος, ἐφαίνετο ἄνθρωπός, οὔτε ὃ ἦν ἐπ' ἀληθείας ἔμεινε, πνεῦμα Θεοῦ, ἐπεὶ ἀόρατον τὸ πνεῦμα· οὔτε ἀλήθειά τις ἦν ἐν αὐτῷ, οὐ γὰρ ἦν ἐκεῖνα ἅπερ ἐφαίνετο. προείπομεν δέ, ὅτι Ἀβραὰμ καὶ οἱ λοιποὶ προφῆται προφητικῶς αὐτὸν ἔβλεπον, τὸ μέλλον ἔσεσθαι δι' ὄψεως προφητεύοντες. εἰ οὖν καὶ νῦν τοιοῦτος ἐφάνη, μὴ ὢν ὅπερ ἐφαίνετο, προφητική τις ὀπτασία γέγονε τοῖς ἀνθρώποις, καὶ δεῖ καὶ ἄλλην ἐκδέχεσθαι παρουσίαν αὐτοῦ, ἐν ᾗ τοιοῦτος ἔσται, οἷος νῦν ὁρᾶται προφητικῶς. ἀπεδείξαμεν δέ, ὅτι τὸ αὐτό ἐστι, δοκήσει λέγειν πεφηνέναι, καὶ οὐδὲν ἐκ τῆς Μαρίας εἰληφέναι. οὐδὲ γὰρ ἦν ἀληθῶς σάρκα καὶ αἷμα ἐσχηκώς. δι' ὧν ἡμᾶς ἐξηγοράσατο, εἰ μὴ τὴν ἀρχαίαν πλάσιν τοῦ Ἀδὰμ εἰς ἑαυτὸν ἀνεκεφαλαιώσατο. μάταιοι οὖν οἱ ἀπὸ Βαλεντίνου, τοῦτο δογματίζοντες, ἵνα ἐκβαλῶσι τὴν ζωὴν τῆς σαρκός.

Vani autem et Ebionæi, unitionem Dei et hominis per fidem non recipientes in suam animam, sed in veteri generationis perseverantes fermento; neque intelligere volentes, quoniam Spiritus sanctus advenit in Mariam, et virtus Altissimi obumbravit eam: quapropter et quod generatum est, sanctum est, et filius Altissimi Dei Patris omnium: qui operatus est incarnationem ejus, et novam ostendit generationem; uti quemadmodum per priorem generationem mortem hæreditavimus, sic per generationem hanc hæreditaremus vitam. Reprobant itaque hi commixtionem vini cœlestis, et sola aqua secularis[1] volunt esse, non recipientes Deum ad commixtionem suam: perseverant autem in eo qui victus est, Adam, et projectus est de paradiso, non contemplantes, quoniam quemadmodum ab initio plasmationis nostræ in Adam ea quæ fuit à Deo inspiratio vitæ, unita plasmati, animavit hominem, et animal rationabile ostendit; sic in fine Verbum Patris et Spiritus Dei, adunitus antiquæ substantiæ plasmationis Adæ, viventem et perfectum effecit hominem, capientem perfectum Patrem: ut quemadmodum in animali omnes mortui sumus, sic in spirituali omnes vivificemur. Non enim effugit aliquando Adam manus Dei, ad quas Pater loquens, dicit: *Faciamus hominem ad imaginem et similitudinem nostram.* Et propter hoc in fine non ex voluntate carnis, neque ex voluntate viri, sed ex placito Patris manus ejus vivum perfecerunt hominem, uti fiat Adam secundum imaginem et similitudinem Dei.[2]

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΦΛΩΡΙΝΟΝ.

Ταῦτα τὰ δόγματα, Φλωρῖνε, ἵνα πεφεισμένως εἰπώ, οὐκ ἔστιν ὑγιοῦς γνώμης· ταῦτα τὰ δόγματα ἀσύμφωνά ἐστι τῇ ἐκκλησίᾳ, εἰς τὴν μεγίστην ἀσέβειαν περιβάλλοντα τοὺς

---

1 "Solam aquam secularem," is the reading of Vossius. The allusion is to the practice of the Ebionites, using only water in the Sacramental cup.

2 A gospel, so called, of the Ebionites, or a history of Christ different from our received gospels, is referred to by Jones (on the New Testament canon). It is supposed to be meant in Paul's words in Gal. i., 6.

πειθομένους αὐτοῖς· ταῦτα τὰ δόγματα οὐδὲ οἱ ἔξω τῆς ἐκκλησίας αἱρετικοὶ[1] ἐτόλμησαν ἀποφήνασθαί ποτε· ταῦτα τὰ δόγματα οἱ πρὸ ἡμῶν πρεσβύτεροι,[2] οἱ καὶ τοῖς ἀποστόλοις συμφοιτήσαντες, ὀυ παρέδωκάν σοι. εἶδον γάρ σε παῖς ὢν ἔτι, ἐν τῇ κάτω Ἀσίᾳ παρὰ τῷ Πολυκάρπῳ, λαμπρῶς πράττοντα ἐν τῇ βασιλικῇ αὐλῇ, καὶ πειρώμενον εὐδοκιμεῖν παρ' αὐτῷ. μᾶλλον γὰρ τὰ τότε διαμνημονεύω τῶν ἔναγχος γινομένων (αἱ γὰρ ἐκ παίδων μαθήσεις συναύξουσαι τῇ ψυχῇ, ἑνοῦνται αὐτῇ) ὥστε με δύνασθαι εἰπεῖν καὶ τὸν τόπον, ἐν ᾧ καθεζόμενος διελέγετο ὁ μακαριος Πολύκαρπος, καὶ τὰς προόδους αὐτοῦ καὶ τὰς εἰσόδους, καὶ τὸν χαρακτῆρα τοῦ βίου, καὶ τὴν τοῦ σώματος ἰδέαν, καὶ τὰς διαλέξεις ἃς ἐποιεῖτο πρὸς τὸ πλῆθος, καὶ τὴν μετὰ Ἰωάννου συναναστροφὴν ὡς ἀπήγγελλε, καὶ τὴν μετὰ τῶν λοιπῶν τῶν ἑωρακότων τὸν Κύριον, καὶ ὡς ἀπεμνημόνευε τούς λόγους αὐτῶν· καὶ περὶ τοῦ Κυρίου τίνα ἦν ἃ παρ' ἐκείνων ἀκηκόει, καὶ περὶ τῶν δυνάμεων αὐτοῦ, καὶ περὶ τῆς διδασκαλίας, ὡς παρὰ τῶν αὐτοπτῶν τῆς ζωῆς τοῦ λόγου παρειληφὼς ὁ Πολύκαρπος, ἀπήγγελλε πάντα σύμφωνα ταῖς γραφαῖς. ταῦτα καὶ τότε διὰ τὸ ἔλεος τοῦ Θεοῦ τὸ ἐπ' ἐμοὶ γεγονὸς σπουδαίως ἤκουον, ὑπομνηματιζόμενος αὐτὰ, οὐκ ἐν χάρτῃ, ἀλλ' ἐν τῇ ἐμῇ καρδίᾳ· καὶ ἀεὶ διὰ τὴν χάριν τοῦ θεοῦ γνησίως αὐτὰ ἀναμαρυκῶμαι. καὶ δύναμαι διαμαρτύρασθαι ἔμπροσθεν τοῦ θεοῦ, ὅτι εἴ τι τοιοῦτον ἀκηκόει ἐκεῖνος ὁ μακάριος καὶ ἀποστολικὸς πρεσβύτερος, ἀνακράξας ἂν καὶ ἐμφράξας τὰ ὦτα αὐτοῦ, καὶ κατὰ τὸ σύνηθες εἰπὼν, Ὦ καλὲ Θεὲ, εἰς οἵους με καιροὺς τετήρηκας, ἵνα τούτων ἀνέχωμαι, πεφεύγοι ἂν καὶ τὸν τόπον, ἐν ᾧ καθεζόμενος ἢ ἑστὼς, τῶν τοιούτων ἀκηκόει λόγων. καὶ ἐκ τῶν ἐπιστολῶν δὲ αὐτοῦ, ὧν ἐπέστειλεν ἤτοι ταῖς γειτνιώσαις ἐκκλησίαις, ἐπιστηρίζων αὐτὰς, ἢ τῶν ἀδελφῶν τισι, νουθετῶν αὐτοὺς καὶ προτρεπόμενος, δύναται φανερωθῆναι.

---

[1] For minute accounts of the Gnostic sects see Mosheim, who mentions Florinus as a Valentinian.—(Cent. II., Part II.)

[2] Apostolic succession recognised as in the Presbyters.

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΒΙΚΤΩΡΑ.

Οὐ γὰρ μόνον περὶ τῆς ἡμέρας ἐστιν ἡ ἀμφισβήτησις, ἀλλὰ καὶ περὶ τοῦ εἴδους αὐτοῦ τῆς νηστείας. οἱ μὲν γὰρ οἴονται μίαν ἡμέραν δεῖν ἀυτοὺς νηστεύειν· οἱ δὲ δύο, οἱ δὲ καὶ πλείονας· οἱ δὲ τεσσαράκοντα ὥρας, ἡμερινάς τε καὶ νυκτερινὰς, συμμετροῦσι τὴν ἡμέραν αὐτῶν. καὶ τοιάυτη μὲν ποικιλία τῶν ἐπιτηρόυντων, οὐ νῦν ἐφ' ἡμῶν γεγονυῖα, ἀλλὰ καὶ πολὺ πρότερον ἐπὶ τῶν πρὸ ἡμῶν, τῶν παρὰ τὸ ἀκριβὲς, ὡς εἰκὸς, κρατομίτων, τὴν καθ' ἁπλότητα καὶ ἰδιωτισμὸν συνήθειαν εἰς τὸ μετέπειτα πεποιηκότων. καὶ οὐδὲν ἔλαττον πάντες οὗτοι εἰρήνευσάν τε, καὶ εἰρηνεύομεν πρὸς ἀλλήλους· καὶ ἡ διαφωνία, τῆς νηστείας τὴν ὁμόνοιαν τῆς πίστεως συνίστησι. * * * * * * * * * * * * * *

Καὶ οἱ πρὸ Σωτῆρος πρεσβύτεροι οἱ προστάντες τῆς ἐκκλησίας, ἧς νῦν ἀφηγῇ, Ἀνίκητον λέγομεν καὶ Πίον, Ὑγῖνόν τε καὶ Τελεσφόρον, καὶ Ξύστον, οὔτε αὐτοὶ ἐτήρησαν, οὔτε τοῖς μετ' αὐτοῦς ἐπέτρεπον. καὶ οὐδὲν ἔλαττον αὐτοὶ μὴ τηροῦντες, ἐιρήνευον τοῖς ἀπὸ τῶν παροικιῶν ἐν αἷς ἐτηρεῖτο, ἐρχομένοις πρὸς ἀυτοὺς, καίτοι μᾶλλον ἐνάντιον ἦν τὸ τηρεῖν τοῖς μὴ τηροῦσι· καὶ οὐδέποτε διὰ τὸ εἶδος τοῦτο ἀπεβλήθησάν τινες. ἀλλ' αὐτοὶ μὴ τηροῦντες οἱ πρὸ σοῦ πρεσβύτεροι τοῖς ἀπὸ τῶν παροικιῶν τηροῦσιν ἔπεμπον εὐχαριστίαν. καὶ τοῦ μακαρίου Πολυκάρπου ἐπιδημήσαντος τῇ Ῥώμῃ ἐπὶ Ἀνικήτου, καὶ περὶ ἄλλων τινῶν μικρὰ σχόντες πρὸς ἀλλήλους, ἐυθὺς εἰρήνευσαν, περὶ τούτου τοῦ κεφαλαίου μὴ φιλεριστήσαντες ἑαυτούς. οὔτε γὰρ ὁ Ἀνίκητος τὸν Πολύκαρπον πεῖσαι ἐδύνατο μὴ τηρεῖν, ἅτε μετὰ Ἰωάννου τοῦ μαθητοῦ Κυρίου ἡμῶν, καὶ λοιπῶν ἀποστόλων οἷς συνδιέτριψεν, ἀεὶ τετηρηκότα· οὔτε μὴν ὁ Πολύκαρπος τὸν Ἀνίκητον ἔπεισε τηρεῖν, λέγοντα τὴν συνήθειαν τῶν τρὸ αὐτου πρεσβυτέρων ὀφείλειν κατέχειν. καὶ τούτων οὕτως ἐχόντων, ἐκοινώνησαν ἑαυτοῖς· καὶ ἐν τῇ ἐκκλησίᾳ παρεχώρησε τὴν εὐχαριστίαν τῷ Πολυκάρπῳ, κατ' ἐντροπὴν δηλονότι, καὶ μετ' εἰρήνης ἀπ' ἀλλήλων ἀπηλλάγησαν, πάσης τὴς ἐκκλησίας εἰρήνην ἐχόυντων καὶ τῶν τηρούντων, καὶ τῶν μὴ τηρούντων.[1]

---

[1] Besides Irenæus, others asserted the rights of the Eastern Christians, especially Polycrates, bishop of Ephesus, who declared in their name, and

DE APOSTOLORUM TRADITIONE, VEL AB APOSTOLIS IN ECCLESIIS EPISCOPORUM SUCCESSIONE.

Traditionem itaque Apostolorum in toto mundo manifestatam, in omni Ecclesia adest perspicere omnibus qui vera velint videre, et habemus annumerare eos qui ab Apostolis instituti sunt Episcopi in Ecclesiis, et successores eorum usque ad nos, qui nihil tale docuerunt, [1] neque cognoverunt, quale ab his deliratur. Etenim si recondita mysteria scissent Apostoli, quæ seorsim et latenter ab reliquis perfectos docebant, his vel maximè traderent ea quibus etiam ipsas Ecclesias committebant. Valde enim perfectos et irreprehensibiles in omnibus eos volebant esse, quos et successores relinquebant, suum ipsorum locum magisterii tradentes; quibus emendatè agentibus fieret magna utilitas, lapsis autem summa calamitas. Sed quoniam valde longum est, in hoc tali volumine, omnium Ecclesiarum enumerare successiones, maximæ, et antiquissimæ, et omnibus cognitæ, à gloriosissimis duobus Apostolis Petro et Paulo Romæ fundatæ et constitutæ Ecclesiæ, eam quam habet ab Apostolis Traditionem, et annunciatam hominibus fidem, per successiones Episcoporum pervenientem usque ad nos indicantes, confundimus omnes eos, qui quoque modo vel per sui placentiam malam, vel vanam gloriam, vel per cæcitatem et

---

with much spirit and resolution that they would by no means depart, in this matter from the custom handed down to them by their ancestors. Victor, exasperated, broke communion with them. The fact of such protests, and the disregard paid to the threat of ex-communication, prove that the supremacy or absolute authority of the Bishop of Rome was not generally conceded. A good practical writer contrasts the violent disputes between the Eastern and Western Churches as to the time of keeping Easter, with the absence of all controversy between them as to the obligation of the Lord's day—no mean proof of its recognised apostolic warrant. (Rev. R. Walker's Sermons.)

[1] Irenæus' idea of tradition involves not the testimony of a succession of individuals merely, but the ecumenical faith; and, if in one place he seems to speak of a line of Bishops, in another the succession and tradition are by Presbyters. "Quapropter eis qui in Ecclesia sunt, Presbyteris obaudire oportet, his qui successionem habent ab Apostolis, sicut ostendimus: qui cum episcopatus successione charisma veritatis certum, secundum placitum Patris acceperunt."—Book iv., ch. 43.

malam sententiam, præterquam oportet colligunt. Ad hanc enim Ecclesiam propter potentiorem principalitatem necesse est omnem convenire [1] ecclesiam, hoc est, eos qui sunt

---

[1] *The Fathers*, you say, *assign Succession as one mark of the true Church*; I confess they did urge Tradition as an Argument of the truth of their Doctrine, and of the falsehood of the contrary: and thus far they agree with you. But now see the difference: They urged it not against all Hereticks that ever should be, but against them that rejected a great part of the Scripture, for no other reason but *because it was repugnant to their Doctrine, and corrupted other parts with their additions and detractions, and perverted the remainder with divers absurd interpretations:* So *Tertullian* not a leaf before the words by you cited. Nay, they urged it against them who *when they were confuted out of Scripture, fell to accuse the Scriptures themselves as if they were not right, and came not from good authority, as if they were various one from another, and as if truth could not be found out of them, by those who know not Tradition, for that it was not delivered in writing,* (they did mean wholly) *but by word of mouth: And that thereupon* Paul *also said, we speak wisdom amongst the perfect.* So *Irenæus* in the very next Chapter before that which you allege. Against these men being thus necessitated to do so, they did urge Tradition, but what or whose Tradition was it? Certainly no other but the joint Tradition of all the Apostolick Churches, with one mouth and one voice teaching the same Doctrine. Or if, for brevity sake, they produce the Tradition of any one Church, yet it is apparent, that, that one was then in conjunction with all the rest; *Irenæus, Tertullian, Origen* testifie as much in the words cited, and St. *Austin* in the place before alleged by me. This Tradition they did urge against these men, and in a time, in comparison of ours, almost contiguous to the Apostles: So near, that one of them, *Irenæus*, was Scholar to one who was Scholar to St. *John* the Apostle; *Tertullian* and *Origen* were not an Age removed from him; and the last of them all little more than an Age from them. Yet after all this, they urged it not as a demonstration, but, only as a very probable argument, far greater than any their Adversaries could oppose against it.

Whereas your great *Achilles* Cardinal *Perron* in *French*; as also his *Noble Translatress*, misled by him, in *English*, knowing that mens resorting to *Rome* would do his cause little service, hath made bold with the *Latin* Tongue, as he does very often with the *Greek*, and rendered *Ad hanc Ecclesiam necesse est omnem convenire Ecclesiam, To this Church it is necessary that every Church should agree*, you have translated it as it should be, *to this Church it is necessary that all Churches resort:* wherein you have shewed more sincerity, and have had more regard to make the Author speak sense. For if he had said, *By shewing the Tradition of the* Roman *Church we confound all Hereticks; for, to this Church, all Churches must agree*; what had this been, but to give for a reason that which was more questionable than the thing in question: as being neither evident in itself, and plainly denied by his adversaries, and not at all proved nor offered to be proved here or elsewhere by *Irenæus.* To speak thus therefore had been weak and ridiculous. But on the other side, if we conceive him to say thus, *You Hereticks, decline a trial of your Doctrine by Scripture, as being corrupted and imperfect, and not fit to determine Controversies without recourse to Tradition, and, instead hereof, you fly for a refuge to a secret Tradition, which you pretend that you received from your Ancestors, and they from the Apostles, certainly, your calumnies against Scripture are most unjust and unreasonable: but yet moreover, assure yourselves, that if you will be tried by Tradition, even by that also you will be overthrown. For our Tradition*

undique fideles, in qua semper ab his, qui snnt undique, conservata est ea quæ est ab Apostolis Traditio. Fundantes igitur et instruentes beati Apostoli Ecclesiam, Lino episcopatum administrandæ Ecclesiæ tradiderunt. Hujus Lini Paulus in his quæ sunt ad Timotheum

---

is far more famous, more constant, and in all respects more credible, than that which you present to. It were easie for me to muster up against you the uninterrupted successions of all the Churches founded by the Apostles, all conspiring in their Testimonies against you: But because it were too long to number up the Successions of all Churches, I will content myself with the Tradition of the most ancient and most glorious Church of Rome, *which alone is sufficient for the confutation and confusion of your Doctrine, as being in credit and authority, as far beyond the Tradition you build upon, as the light of the Sun is beyond the light of a Glow-Worm. For to this Church, by reason it is placed in the Imperial City, whither all mens affairs do necessarily draw them, or by reason of the powerful principality it hath over all the adjacent Churches, there is and always hath been, a necessity of a perpetual recourse of all the faithful round about: who, if there hath been any alteration in the Church of* Rome *could not in all pobability but have observed it. But they to the contrary, have always observed in this Church the very Tradition which came from the Apostles, and no other.* I say, if we conceive his meaning thus, his words will be intelligible and rational: which if instead of *resort* we put in *agree* will be quite lost. Herein therefore we have been beholding to your honesty, which makes me think you did not wittingly falsfie, but only twice in this sentence mistake *Undique* for *Ubique*, and translate it, *every where* and *of what place soever*, instead of *round about*. For that it was necessary *for all the faithful of what place soever to resort to* Rome, is not true. That *the Apostolick Tradition hath always been conserved there from those who are every where*, is not Sense. Now instead of *conservata* read *observata*, as in all probability it should be, and translate *undique* truly *round about*, and then the sense will be both plain and good: for then it must be rendered thus, *For to this Church, by reason of a more powerful principality, there is a necessity that all the Churches, that is, all the faithful round about, should resort, in which the Apostolick Tradition hath been always observed by those who were around about.* * * * * * * * *

But whether you will have it *Observata* or *Conservata*, * * * * * * possibly it may be something to *Irenæus*, but to us, or our cause, it is no way material. For if the rest be rightly translated, neither will *Conservata* afford you any argument against us, nor *Observata* help us to any evasion. For though at the first hearing of the glorious attributes here given, (and that justly) to the Church of *Rome*, *the confounding Hereticks with her Tradition, and saying it is necessary for all Churches to resort to her,* may sound like Arguments for you; yet he that is attentive, I hope, will easily discover, that it might be good and rational in *Irenæus* having to do with Hereticks, who, somewhat like those, who would be the only Catholicks, declined a trial by Scripture, as not containing the Truth of Christ perfectly, and not fit to decide Controversies, without recourse to Tradition: I say, he will easily perceive that it might be rational in *Irenæus* to urge them, with any Tradition of more credit than their own, especially a Tradition consonant to Scripture, and even contained in it; and yet that it may be irrational in you to urge us, who do not decline Scripture, but appeal to it as a perfect rule of faith, with a Tradition which we pretend is many ways repugnant to Scripture; and repugnant to a

epistolis meminit. Succedit autem ei Anacletus: post eum tertio loco ab Apostolis episcopatum sortitur Clemens, qui et videt Apostolos, et contulit cum eis, et cùm adhuc insonantam prædicationem Apostolorum et Traditionem ante oculos haberet, non solus; adhuc enim multo supererant tunc ab Apostolis docti. Sub hoc igitur Clemente, dissensione non modica inter eos qui Corinthi essent fratres facta, scripsit quæ est Romæ Ecclesia potentissimas literas Corinthiis, ad pacem eos congregans, et reparans fidem eorum, et annuntians quam in recenti ab Apostolis acceperant Traditionem, annunciantem unum deum omnipotentem, factorem cœli et terræ, plasmatorem hominis,

---

Tradition far more general than it self, which gives testimony to Scripture; and lastly, repugnant to itself, as giving attestation both to Scripture, and to Doctrines plainly contrary to Scripture. Secondly, that the Authority of the *Roman* Church was then a far greater Argument of the Truth of her Tradition when it was united with all other Apostolick Churches, than now when it is divided from them, according to that of *Tertullian, Had the Churches erred they would have varied, but that which is the same in all, cannot be Error but Tradition*; and therefore *Irenæus* his Argument may be very probable, yet yours may be worth nothing. Thirdly, that fourteen hundred years may have made a great deal of alteration in the *Roman* Church; as rivers, though near the fountain, they may retain their native and unmixt sincerity, yet in long progress cannot but take in much mixture that came not from the Fountain. And therefore the *Roman* Tradition, though then pure, may now be corrupted and impure: and so this Argument (being one of those things which are the worse for wearing) might in *Irecænus* his time be strong and vigorous, and after declining and decaying may long since have fallen to nothing. Especially, considering that *Irenæus* plays the Historian only, and not the Prophet, and says only, that the *Apostolick Tradition had been always there as in other Apostolick Churches conserved or observed*, chuse you whether, but that *it should be always so*, he says not, neither had he any warrant.—*Chillingworth's works*, (*Religion of Protestants, a safe way to salvation*); *London*, 1704.

The distinguished Richard Field, in his treatise of the church, also reclaims against Bellarmine's use of these words of Irenæus. Neander agrees substantially in Chillingworth's interpretation, while accepting conservata (not observata) as the true reading. He takes "convenire" as a translation of συνερχέσθαι not συμβαίνειν as Gieseler supposes: "on the ground of the rank which this church maintains as the ecclesia urbis, all churches, that is, believers from all countries must—the 'must' continues Neander lies in the nature of the case,—come together there; and since now from the beginning christians from all countries must come together there, it follows that the apostolic tradition has been preserved from generation to generation by the christians from all countries of the world, who are there united together."

He confirms this interpretation by a passage in Athenæus, in which the City of Rome is called an epitome of the whole world."

qui induxerit cataclysmum, et advocaverit Abraham, qui eduxerit populum de terra Egypti, qui colloquutus sit Moysi, qui legem disposuerit, et Prophetas miserit, qui ignem præpararet diabolo et Angelis ejus. Hunc Patrem Domini nostri Jesu Christi ab Ecclesiis annunciari, ex ipsa Scriptura, qui velint, discere possunt, et Apostolicam eam Ecclesiæ Traditionem intelligere, cum sit vetustior Epistola his qui nunc falso docent, et alterum Deum super Demiurgum et factorem horum omnium quæ sunt commentiuntur. Huic autem Clementi succedit Euaristus, et Euaristo Alexander, ac deinceps sextus ab Apostolis constitutus est Sixtus, et ab hoc Telesphorus, qui etiam gloriossime martyrium fecit: ac deinceps Hyginus, post Pius, post quem Anicetus. Cum autem successisset Aniceto Soter, nunc duodecimo loco Episcopatum ab Apostolis habet Eleutherius. Hac ordinatione et successione ea quæ est ab Apostolis in Ecclesia Traditio et veritatis præconiatio pervenit usque ad nos. Et est plenissima hæc ostensio, unam et eandem vivificatricem fidem esse, quæ in Ecclesia ab Apostolis usque nunc sit conservata, et tradita in veritate.

Et Polycarpus autem non solum ab Apostolis edoctus, et conversatus cum multis ex eis qui Dominum nostrum viderunt; sed etiam ab Apostolis in Asia, in ea quæ est Smyrnis Ecclesia constitutus Episcopus, quem et nos vidimus in prima nostra ætate: (multum enim perseveravit, et valde senex gloriosissime et nobilissimè martyrium faciens exivit de hac vita) hæc docuit semper quæ ab Apostolis didicerat, quæ et Ecclesiæ tradidit, et sola sunt vera. Et testimonium his perhibent quæ sunt in Asia Ecclesiæ omnes, et qui usque adhuc successerunt Polycarpo: qui vir multo majoris authoritatis, et fidelior veritatis est testis, quam Valentinus et Marcion, et reliqui qui sunt perversæ sententiæ.

VII. CLEMENT (ALEX.) VIII. ORIGEN.

We place these names together, as representatives of the Alexandrian Theology. They belong to the third century, and the reign of Severus and his immediate successors: Origen living on to the time of Decius, or year 254.

Clement succeeded to Pantænus as master of the Christian catechetical school or college at Alexandria: Origen followed Clement, whose pupil he had been.

Clement and Origen have this in common: they were both imbued with the spirit of the Neo-Platonic philosophy; each did good service against the Docetæ and others. Both led in the system of allegorical interpretation of scripture, which was carried to so great an extent in that age. Dating indeed, before them, from Philo and the Jewish sects, Clement carried it to the extent of cabalistic mysticism. But, though it affects injuriously his interpretation of scripture, his works, as well as Origen's, are much admired. Olshausen has remarked his richness and depth of thought on a passage in the Gospels, from which we extract. The other piece is from his Pædagogia, an exposition of Christian morals.

Origen was the first great Biblical critic: we only need name his Polyglott. But otherwise he rendered eminent service to truth. Early advanced to the rank of Presbyter in the church at Alexandria, his labours were indefatigable. Besides his great work in vindication of Christianity against Celsus, an Epicurean philosopher, he opposed with eminent success the errors of Beryllus, respecting the person of Christ; Beryllus owning himself convinced. Unhappily, opinions of a dangerous tendency, propounded in certain of Origen's writings, have clouded his own name. But he is mentioned with great respect by Athanasius; and it is thought, that some of his works were falsified by the heretics. In his advanced years he suffered in the Decian persecutions, enduring (Eusebius tells us) imprisonment and torture for the gospel's sake. We give part of his argument with Celsus.

ΚΛΗΜΕΝΤΟΣ ΛΟΓΟΣ.

ΠΕΡΙ ΤΟΥ ΠΑΙΔΑΓΩΓΟΥ.

1. Ἐπεὶ τοίνυν ἀπεδείξαμεν παῖδας ἡμᾶς τοὺς πάντας ὑπὸ τῆς γραφῆς καλουμενούς, οὐ μόνον ἀλλὰ καὶ τοὺς Χριστῷ κατηκολουθηκότας ἡμᾶς νηπίους ἀλληγορουμένους, μόνον δὲ εἶναι τέλειον τὸν Πατέρα τῶν ὅλων—ἐν αὐτῷ γὰρ ὁ Υἱὸς καὶ ἐν τῷ Υἱῷ ὁ Πατήρ—, καὶ ὥρα ἡμῖν ἑπομένοις τῇ τάξει καὶ τὸν παιδαγωγὸν ἡμῶν εἰπεῖν, ὅστις ἐστί. Καλεῖται δὲ Ἰησοῦς. Ἔσθ' ὅτε οὖν ποιμένα ἑαυτὸν καλεῖ καὶ λέγει, "ἐγώ εἰμί ὁ ποιμὴν ὁ καλός," κατὰ μεταφορὰν ἀπὸ τῶν ποιμένων τῶν καθηγουμένων τοῖς προβάτοις, ὁ καθηγούμενος τῶν παιδίων, παιδαγωγὸς νοούμενος, ὁ τῶν νηπίων κηδεμονικὸς ποιμήν· ἁπλοῖ γὰρ οἱ νήπιοι ὡς πρόβατα ἀλληγορούμενοι· "καὶ γενήσονται," φησὶν, "οἱ πάντες μία ποίμνη καὶ εἷς "ποιμήν." Παιδαγωγὸς οὖν εἰκότως ὁ Λόγος ὁ τοὺς παῖδας ἡμᾶς εἰς σωτηρίαν ἄγων. Ἐναργέστατα γοῦν ὁ Λόγος περὶ ἑαυτοῦ διὰ Ὠσηὲ εἴρηκεν· "ἐγὼ δὲ παιδευτὴς ὑμῶν εἰμί."[1] Παιδαγωγία δὲ ἡ θεοσέβεια, μάθησις οὖσα Θεοῦ θεραπείας, καὶ παίδευσις εἰς ἐπίγνωσιν ἀληθείας, ἀγωγή τε ὀρθὴ, ἀνάγουσα εἰς οὐρανόν.—Book I., cap. vii.

II. Παιδαγωγία δὲ καλεῖται πολλαχῶς· καὶ γὰρ ἡ τοῦ ἀγομένου καὶ μανθάνοντος, καὶ ἡ τοῦ ἄγοντος καὶ διδάσκοντος, καὶ αὐτὴ τρίτον ἡ ἀγωγὴ, καὶ τὰ διδασκόμενα τέταρτον, οἷον αἱ ἐντολαί. Ἔστι δὲ ἡ κατὰ Θεὸν παιδαγωγία κατευθυσμὸς ἀληθείας εἰς ἐποπτείαν Θεοῦ, καὶ πράξεων ἁγίων ὑποτύπωσις ἐν αἰωνίῳ διαμονῇ. Ὥσπερ οὖν κατευθύνει τὴν φάλαγγα ὁ στρατηγὸς τῆς σωτηρίας τῶν μισθοφόρων προμηθούμενος, καὶ ὡς ὁ κυβερνήτης οἰακίζει τὸ σκάφος σώζειν προαιρούμενος τοὺς ἐμπλέοντας, οὕτως καὶ ὁ παιδαγωγὸς ἄγει τοὺς παῖδας ἐπὶ τὴν σωτήριον δίαιταν τῆς ἡμῶν αὐτῶν ἕνεκεν κηδεμονίας· καὶ καθόλου ὁπόσα ἂν παρὰ τοῦ Θεοῦ εὐλόγως αἰτήσαιμεν ἡμῖν γενέσθαι, ταῦτα πειθομένοις τῷ παιδαγωγῷ περιέσται. Ὅνπερ οὖν τρόπον ὁ κυβερνήτης οὐκ αἰεὶ τοῖς ἀνέμοις ὑπείκει, ἀντίπρωρος δὲ ἔσθ' ὅτε ὅλαις ἀνθίσταται καταιγίσιν, οὕτως ὁ παιδαγωγὸς οὐχὶ τοῖς ἐν τῷ κόσμῳ τῷδε καταπνέουσι

[1] Hos. v., 2, (Sept.)

νόμοις ὑπείκει ποτὲ, οὐδέ ἐπιτρέπει αὐτοῖς τὸ παιδίον, ὥσπερ σκάφος, εἰς θηριώδη καὶ ἀσελγῆ προσρῆξαι δίαιταν, μόνῳ δὲ ἄρα τῷ ἀληθείας πνεύματι ἔπουρος ἀρθεὶς, ἀντέχεται μαλα ἐρρωμένως τῶν οἰάκων τοῦ παιδὸς, τῶν ὤτων λέγω, ἕως ἂν ἀβλαβὲς καθορμίσῃ τὸ παιδίον εἰς τὸν λιμένα τῶν οὐρανῶν. Τὸ μὲν γὰρ πάτριον καλούμενον παρ' αὐτοῖς ἔθος, ὅσον οὐδέπω παρέρχεται· ἡ δὲ ἀγωγὴ ἡ θεία[1] κτῆμά ἐστίν εἰς ἀεὶ παραμένον.

III. Ἀχιλλέως μὲν οὖν παιδαγωγὸν τὸν Φοίνικά φασι γεγονέναι, καὶ τῶν Κροίσου παίδων Ἄδραστον, Ἀλεξάνδρου δὲ Λεωνίδην, καὶ Φιλίππου Ναυσίθοον. Ἀλλ' ὁ μὲν γυναικομανὴς ὁ Φοίνιξ ἦν, ὁ δὲ φυγὰς ὁ Ἄδραστος ἦν, Λεωνίδης δὲ οὐ περιεῖλεν τὸν τῦφον τοῦ Μακεδόνος, οὐδὲ Ναυσίθοος μεθύοντα τὸν ἐκ Πέλλης ἰάσατο, Ἀλκιβιάδου δὲ τὴν πορνείαν ὁ Θρᾷξ ἐπισχεῖν οὐκ ἴσχυσε Ζώπυρος, ἀλλ' ὠνητὸν ἀνδράποδον ὁ Ζώπυρος ἦν, καὶ τῶν Θεμιστοκλέους παίδων ὁ παιδαγωγὸς Σίκιννος οἰκέτης ῥᾴθυμος ἦν, ὀρχεῖσθαί φασιν αὐτὸν καὶ σικιννίζειν εὑρηκέναι. Οὐκ ἔλαθον ἡμᾶς οἱ παρὰ Πέρσαις βασίλειοι καλούμενοι παιδαγωγοὶ, οὓς τέτταρας τὸν ἀριθμὸν ἀριστίνδην ἐκλέγοντες ἐκ πάντων Περσῶν οἱ βασιλεῖς Περσῶν τοῖς σφῶν αὐτῶν ἐφίστων παισίν· ἀλλὰ τοξεύειν μόνον οἱ παῖδες αὐτοῖς μανθάνουσιν, ἡβήσαντες δὲ ἀδελφαῖς καὶ μητράσι καὶ γυναιξὶ, γαμεταῖς τε ἅμα καί παλλακίσιν ἀναρίθμοις ἐπιμίσγονται, καθάπερ οἱ κάπροι εἰς συνουσίαν ἠσκημένοι. Ὁ δὲ ἡμέτερος παιδαγωγὸς ἅγιος Θεὸς Ἰησοῦς, ὁ πάσης τῆς ἀνθρωπότητος καθηγεμὼν Λόγος, αὐτὸς ὁ φιλάνθρωπος Θεός ἐστι παιδαγωγός.

IV. Λέγει δέ που διὰ τῆς ᾠδῆς τὸ Πνεῦμα τὸ ἅγιον εἰς αὐτὸν, "αὐτάρκησε τὸν λαὸν ἐν τῃ ἐρήμῳ, ἐν δίψει καύματος ἐν ἀνύδρῳ ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν καὶ διεφύλαξεν ὡς κόρην ὀφθαλμοῦ, ὡς ἀετὸς σκεπάσαι νεοσσιὰν αὐτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν, διεὶς τὰς πτέρυγας αὐτου ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ· Κύριος μόνος ἦγεν αὐτοὺς καὶ οὐκ ἦν μετ' αὐτων Θεὸς ἀλλότριος."[2] Σαφῶς οἶμαι τὸν παιδαγωγὸν ἐνδείκνυται ἡ γραφὴ τὴν ἀγωγὴν αὐτοῦ διηγουμένη.

---

[1] Thucyd. i., 22. [2] Deut. xxxii., 10.

Οὗτος ἦν ὁ ἄνθρωπος ὁ ἄγων καὶ φέρων, ὁ συγγυμναζόμενος καὶ ἀλείφων κατὰ τοῦ πονηροῦ τὸν ἀσκητὴν Ἰακώβ.

* * * * * * * * * *

Ταύτῃ οὖν καὶ Σωτὴρ ὁ Λόγος κέκληται, ὁ τὰ λογικὰ ταῦτα ἐξευρὼν ἀνθρώποις εἰς εὐαισθησίαν καὶ σωτηρίαν φάρμακα, ἐπιτηρῶν μὲν τὴν εὐκαιρίαν ἐλέγχων δὲ τὴν βλάβην, καὶ τὰς αἰτίας τῶν παθῶν διηγούμενος καὶ τὰς ῥίζας τῶν ἀλόγων ἐπικόπτων ἐπιθυμιῶν, παραγγέλλων μὲν ὧν ἀπέχεσθαι δεῖ τὰς ἀντιδότους δὲ ἁπάσας τῆς σωτηρίας τοῖς νοσοῦσι προσφέρων· τοῦτο γὰρ τὸ μέγιστον καὶ βασιλικώτατον ἔργον τοῦ Θεοῦ σώζειν τὴν ἀνθρωπότητα. Τῷ μὲν οὖν ἰατρῷ οὐδὲ πρὸς ὑγείαν συμβουλεύοντι ἄχθονται οἱ κάμνοντες, τῷ δὲ παιδαγωγῷ τῷ θείῳ πῶς οὐκ ἂν ὁμολογήσαιμεν τὴν μεγίστην χάριν μὴ σιωπῶντι μηδὲ παρενθυμουμένῳ τὰς εἰς ἀπώλειαν φερούσας ἀπειλὰς, ἀλλὰ καὶ ταύτας διελέγχοντι καὶ τὰς ὁρμὰς τὰς εἰς αὐτὰς διατεινούσας ἀνακόπτοντι καὶ τὰς καθηκούσας πρὸς τὴν ὀρθὴν πολιτείαν ὑποθημοσύνας ἐκδιδάσκοντι; Πλείστην ἄρα ὁμολογητέον χάριν αὐτῷ. Τὸ γάρ τοι ζῶον τὸ λογικὸν, τὸν ἄνθρωπον λέγω, ἄλλο τι φαμὲν ἢ θεάσασθαι τὸ θεῖον δεῖν; θεάσασθαι δὲ καὶ τὴν ἀνθρωπίνην φύσιν φημὶ χρῆναι, ζῆν τε ὡς ὑφηγεῖται ἡ αλήθεια, ἀγαμένους ὑπερφυῶς τόν τε παιδαγωγὸν αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ, ὡς πρέποντα ἀλλήλοις ἐστὶ καὶ ἁρμόττοντα, καθ' ἣν εἰκόνα καὶ ἡμᾶς ἁρμοσαμένους χρὴ σφᾶς αὐτοὺς πρὸς τὸν παιδαγωγὸν σύμφωνον τὸν λόγον ποιησαμένους τοῖς ἐργοῖς τῷ ὄντι ζῆν.—B. I., cap. xii.

Ἀγαπάτωσαν οὖν ἀλλήλους οἱ συνεζευγμένοι, "ὡς τὰ ἴδια σώματα." "Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν, —οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. Οἱ δοῦλοι ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ—ἐκ ψυχῆς μετ' εὐνοίας δουλεύοντες.—Καὶ οἱ κύριοι εὖ ποιεῖτε τοὺς οἰκέτας ὑμῶν ἀνιέντες τὴν ἀπειλὴν, εἰδότες ὅτι καὶ αὐτῶν καὶ ὑμῶν ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστιν." "Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθο-

νοῦντες·—ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.—Μὴ *πλανᾶσθε,* Θεὸς *οὐ μυκτηρίζεται.*—Τὸ *καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν, καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ ἐκλυόμενοι.*" "Εἰ*ρηνεύετε ἐν ἑαυτοῖς.* Π*αρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας, ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ.*—Τὸ *πνεῦμα μὴ σβέννυτε, προφητείας μὴ ἐξουθενεῖτε, πάντα δὲ δοκιμάζετε, καὶ τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.*" "Τ*ῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.*—Ἐν *σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω τὸν καιρὸν ἐξαγοραζόμενοι.* Ὁ *λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.*"—Book III., cap. xii.

Ὦ *τῆς μακαρίου θρέμματα παιδαγωγίας· τὸ καλὸν τῆς ἐκκλησίας πληρώσωμεν πρόσωπον καὶ πρὸς τὴν ἀγαθὴν προσδράμωμεν οἱ νήπιοι μητέρα, κἂν ἀροαταὶ τοῦ λόγου γενώμεθα, τὴν μακαρίαν δοξάζωμεν οἰκονομίαν,*[1] *δι' ἣν παιδαγωγεῖται μὲν ὁ ἄνθρωπος, ἁγιάζεται δὲ ὡς* Θεοῦ *παιδίον, καὶ πολιτεύεται μὲν ἐν οὐρανοῖς ἀπὸ γῆς παιδαγωγούμενος.* Π*ατέρα δὲ ἐκεῖ λαμβάνει, ὃν ἐπὶ γῆς μανθάνει.* Π*άντα ὁ* Λ*όγος καὶ ποιεῖ καὶ διδάσκει καὶ παιδαγωγεῖ.* Ἵ*ππος ἄγεται χαλινῷ, καὶ ταῦρος ἄγεται ζυγῷ, θηρίον βρόχῳ ἁλίσκεται, ὁ δὲ ἄνθρωπος μεταπλάσσεται λόγῳ, ᾧ θηρία τιθασσεύεται καὶ νηκτὰ δελεάζεται καὶ πτηνὰ κατασύρεται,* Οὗ*τος ὡς ἀληθῶς τεχνάζεται ἵππῳ χαλινὸν, ταύρῳ ζυγὸν, θηρίῳ βρόχον, κάλαμον ἰχθύϊ, πάγην ὀρνέῳ· οὗτος πολιτεύεται καὶ γεωργεῖ, ἄρχει καὶ ὑπουργεῖ καὶ τὰ ὅλα δημιούργει·*

ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται.[2]

Ὦ *τῶν θείων δημιουργημάτων, ὢ τῶν θείων παραγγελμάτων· ὕδωρ τοῦτο ἐν ἑαυτῷ κυμαινέτω, πῦρ τοῦτο τὴν ὀργὴν συνεχέτω, ἀὴρ οὗτος εἰς αἰθέρα πλανάσθω, γῆ δὲ καὶ πεπήχθω καὶ φερέσθω, ὅταν ἐγὼ θέλω ἄνθρωπον ἔτι πλά-*

---

[1] Meaning the doctrine of the incarnation of Christ, as distinguished from the *θεολογία* or doctrine of his divinity.

[2] Hom. Il., Bk. XVIII., line 483.

σαι καὶ βούλωμαι, ὕλην ἔχω τὰ στοιχεῖα, συνοικῶ μου τῷ πλάσματι. Ἐάν με γνωρίσῃς, δουλεύσει σοι τὸ πῦρ. Τοσοῦτος ὁ Λόγος οὗτος, ὁ παιδαγωγὸς, ὁ τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου δημιουργὸς, καὶ δι' αὐτὸν ἤδη καὶ τοῦ κόσμου παιδαγωγὸς, οὗ τῇ ἐγκελεύσει ἄμφω συνεστήκαμεν προσμένοντες τὴν κρίσιν, Οὐ γὰρ ὑπόκλοπον φορεῖ βροτοῖσι φωνάεντα λόγον, ἔσται λόγος σοφία, ὥς φησι Βακχυλίδης. Τὰ δὲ ἄμεμπτα καὶ ἀκέραια καὶ ἄμωμα τοῦ Θεοῦ κατὰ τὸν Παῦλον τέκνα, μέσον γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, φωστήρων δίκην ἐν κόσμῳ φαίνεσθαι.

Ὅπερ οὖν λοιπὸν ἐπὶ τοιαύτῃ πανηγύρει τοῦ Λογου, τῷ Λόγῳ προσευξώμεθα· ἵλαθι τοῖς σοῖς, παιδαγωγὲ, παιδίοις, πατὴρ, ἡνίοχε Ἰσραὴλ, υἱὲ καὶ πατὴρ, ἓν ἄμφω Κύριε. Δὸς δὲ ἡμῖν τοῖς σοῖς ἑπομένοις παραγγέλμασι τὸ ὁμοίωμα πληρῶσαι τῆς εἰκόνος, αἰσθάνεσθαί τε κατὰ κράτος ἀγαθοῦ τοῦ Θεοῦ, κριτοῦ τε μὴ πικροῦ, καὶ πάρασχε ἅπαντα αὐτὸς ἐν εἰρήνῃ τῇ σῇ πολιτευομένους, ἐν τῇ σῇ μετατιθεμένους πόλει, ἀκυμάντως τῆς ἁμαρτίας τὸν κλύδωνα διαπλεύσαντας, γαληνιῶντας ἁγίῳ συμφέρεσθαι Πνεύματι, σοφίᾳ τῇ ἀνεκφράστῳ, νύκτωρ, καθ' ἡμέραν, εἰς τὴν τελείαν ἡμέραν, αἰνοῦντας εὐχαριστεῖν, [εὐχαριστοῦντας) αἰνεῖν, τῷ μόνῳ πατρὶ καὶ υἱῷ, υἱῷ καὶ πατρὶ, παιδαγωγῷ καὶ διδασκάλῳ υἱῷ, σὺν καὶ τῷ ἁγίῳ Πνεύματι, πάντα τῷ ἑνὶ, ἐν ᾧ τὰ πάντα, δι' ὃν τὰ πάντα ἕν, δι' ὃν τὸ ἀεὶ, οὗ μέλη πάντες, οὗ δόξα αἰῶνες,[1] πάντα τῷ ἀγαθῷ, πάντα τῷ καλῷ, πάντα τῷ σοφῷ, τῷ δικαίῳ τὰ πάντα, Ὧι ἡ δόξα καὶ νῦν καὶ εἰς αἰῶνας. Ἀμήν. Ἐπεὶ δὲ εἰς τὴν ἐκκλησίαν ἡμᾶς καταστήσας ὁ παιδαγωγὸς αὐτὸς ἑαυτῷ παρακατέθετο τῷ διδασκαλικῷ καὶ πανεπισκόπῳ Λόγῳ, καλῶς ἂν ἔχοι ἡμᾶς ἐνταῦθα γενομένους μισθὸν εὐχαριστίας δικαίας κατάλληλον ἀστείου παιδαγωγίας αἶνον ἀναπέμψαι Κυρίῳ.[2]—B. III., xv.-xvii.

---

[1] *αἰῶνες*—probably angels are meant here. "Cujus gloria sunt sæcula, *i.e.*, spiritus cœlestes, sive angeli," Grabius.—POTTER.

[2] Clement's prayer and doxology form a valuable document as to early opinions.

ΚΛΗΜΕΝΤΟΣ ΛΟΓΟΣ

ΤΙΣ Ο ΣΩΖΟΜΕΝΟΣ ΠΛΟΥΣΙΟΣ.

11. Τί τοίνυν ἦν τὸ προτρεψάμενον αὐτὸν εἰς φυγὴν, καὶ ποιῆσαν ἀπαυτομολῆσαι τοῦ διδασκάλου, τῆς ἱκεσείας, τῆς ἐλπίδος, τῆς ζωῆς, τῶν προπεπονημένων ; πώλησον τὰ ὑπάρχοντά σου. Τί δὲ τοῦτο ἐστίν ; οὐχ ἃ προχείρως δέχονταί τινες, τὴν ὑπάρχουσαν οὐσίαν ἀποῤῥίψαι προστάσσει καὶ ἀποστῆναι ἀπὸ τῶν χρημάτων· ἀλλὰ τὰ δόγματα περὶ χρημάτων ἐξορίσαι τῆς ψυχῆς, τὴν περὶ αὐτὰ πτοίαν καὶ νόσον, τὰς μερίμνας, τὰς ἀκάνθας τοῦ βίου, αἳ τὸ σπέρμα τῆς ζωῆς συμπνίγουσιν. οὔτε γὰρ μέγα καὶ ζηλωτὸν τὸ τηνάλλως ἀπορεῖν χρημάτων μὴ ἐπὶ λόγῳ ζωῆς· οὕτω μὲν γὰρ ἂν ἦσαν οἱ μηδὲν ἔχοντες μηδαμῆ, ἀλλὰ ἔρημοι καὶ μεταῖται τῶν ἐφ' ἡμέραν, οἱ κατὰ τὰς ὁδοὺς ἐῤῥιμμένοι πτωχοὶ, ἀγνοοῦντες δὲ Θεὸν καὶ δικαιοσύνην Θεοῦ, κατ' αὐτὸ μόνον τὸ ἄκρως ἀπορεῖν καὶ ἀμηχανεῖν βίου καὶ τῶν ἐλαχίστων σπανίζειν, μακαριώτατοι καὶ θεοφιλέστατοι, καὶ μόνοι ζωὴν ἔχοντες αἰώνιον. οὔτε καινὸν τὸ ἀπείπασθαι πλοῦτον καὶ χαρίσασθαι πτωχοῖς ἢ πένησιν, ὃ πολλοὶ πρὸ τῆς τοῦ σωτῆρος καθόδου πεποιήκασιν, οἱ μὲν τῆς εἰς λόγους σχολῆς καὶ νεκρᾶς σοφίας ἕνεκεν, οἱ δὲ φήμης κενῆς καὶ κενοδοξίας, Ἀναξαγόραι καὶ Δημόκριτοι καὶ Κράτητες.[1]

12. Τί οὖν ὡς καινὸν, ἴδιον Θεοῦ παραγγέλλει καὶ μόνον ζωοποιὸν, ὃ τοὺς προτέρους οὐκ ἔσωσεν ; τί δὲ ἐξαίρετόν τι ἡ καινὴ κτίσις, ὁ υἱὸς θεοῦ μηνύει και διδάσκει ; οὐ τὸ φαινόμενον, ὅπερ ἄλλοι πεποιήκασι, παρεγγυᾷ, ἀλλ' ἕτερόν τι διὰ τούτου σημαινόμενον μεῖζον καὶ θειότερον καὶ τελειώτερον, τὸ τὴν ψυχὴν αὐτὴν καὶ τὴν διάθεσιν γυμνῶσαι τῶν ἀπὸ τῶν παθῶν καὶ πρόῤῥιζα τὰ ἀλλότρια τῆς γνώμης ἐκτεμεῖν καὶ ἐκβαλεῖν. τοῦτο γὰρ ἴδιον μὲν τοῦ πιστοῦ τὸ

[1] Refers to Crates, a philosopher of Thebes, who threw his gold into the sea. He is mentioned by Cicero.—Aç. Q. I., 9.

μάθημα, ἄξιον δὲ τοῦ σωτῆρος τὸ δίδαγμα. οἱ γάρ τοι πρότερον καταφρονήσαντες τῶν ἐκτὸς, τὰ μὲν κτήματα ἀφῆκαν καὶ παραπώλεσαν, τὰ δὲ πάθη τῶν ψυχῶν οἶμαι ὅτι καὶ προσεπέτειναν. ἐν ὑπεροψίᾳ γὰρ ἐγένοντο καὶ ἀλαζονείᾳ καὶ κενοδοξίᾳ καὶ περιφρονήσει τῶν ἄλλων ἀνθρώπων, ὡς αὐτοί τι ὑπὲρ ἄνθρωπον ἐργαζόμενοι. Πῶς ἂν οὖν ὁ σωτὴρ παρῄνει τοῖς ἀεὶ βιωσομένοις τὰ βλάψοντα καὶ λυμανούμενα πρὸς τὴν ζωὴν ἣν ἐπαγγέλλεται; καὶ γὰρ ἂν κἀκεῖνό ἐστι, δύναταί τις ἀποφορτισάμενος τὴν κτῆσιν, οὐδὲν ἧττον ἔτι τὴν ἐπιθυμίαν καὶ τὴν ὄρεξιν τῶν χρημάτων ἔχειν ἐντετηκυῖαν καὶ συζῶσαν· καὶ τὴν μὲν χρῆσιν ἀποβεβληκέναι, ἀπορῶν δὲ ἅμα καὶ ποθῶν ἅπερ ἐσπάθησε, διπλῇ λυπεῖσθαι, καὶ τῇ τῆς ὑπηρεσίας ἀπουσίᾳ καὶ τῇ τῆς μετανοίας παρουσίᾳ. ἀνέφικτον γὰρ καὶ ἀμήχανον, δεόμενον τῶν πρὸς τὸ βιοτεύειν ἀναγκαίων μὴ κατακλᾶσθαι τὴν γνώμην καὶ ἀσχολίαν ἄγειν ἀπὸ τῶν κρειττόνων, ὁπωσοῦν καὶ ὁθενοῦν ταῦτα πειρώμενον ἐκπορίζειν.

13. Καὶ πόσῳ χρησιμώτερον τὸ ἐναντίον, ἱκανὰ κεκτημένον αὐτόν τε περὶ τὴν κτῆσιν μὴ κακοπαθεῖν, καὶ οἷς καθῆκεν ἐπικουρεῖν; τίς γὰρ ἂν κοινωνία καταλίποιτο παρὰ ἀνθρώποις, εἰ μηδεὶς ἔχοι μηδέν; πῶς ἂν τοῦτο τὸ δόγμα πολλοῖς ἄλλοις καὶ καλοῖς τοῦ Κυρίου δόγμασιν οὐχὶ φανερῶς ἐναντιούμενον εὑρίσκοιτο καὶ μαχόμενον; ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. κτήσασθε θησαυροὺς ἐν οὐρανῷ, ὅπου μήτε σὴς μήτε βρῶσις ἀφανίζουσι, μήτε κλέπται διορύσσουσι. πῶς ἄν τις πεινῶντα τρέφοι, καὶ διψῶντα ποτίζοι, καὶ γυμνὸν σκεπάζοι, καὶ ἄστεγον συνάγοι, ἃ τοῖς μὴ ποιήσασιν ἀπειλεῖ πῦρ καὶ σκότος τὸ ἐξώτερον, εἰ πάντων αὐτὸς ἕκαστος φθάνοι τούτων ὑστερῶν; ἀλλὰ μὴν αὐτός τε ἐπιξενοῦσθαι Ζακχαίῳ κελεύει καὶ Ματθαίῳ τοῖς πλουσίοις καὶ τελώναις. καὶ τὰ μὲν χρήματα αὐτοὺς οὐ κελεύει μεθεῖναι, τὴν δὲ δικαίαν κρίσιν[1] ἐπιθεὶς, καὶ τὴν ἄδικον ἀφελὼν, καταλέγει. σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν. οὕτως τὴν χρείαν αὐτῶν ἐπαινεῖ, ὥστε καὶ μετὰ τῆς προσθήκης ταύτης τὴν κοινωνίαν ἐπι-

---

[1] Another reading is κτῆσιν.

τάσσει, ποτίζειν τὸν διψῶντα, ἄρτον διδόναι τῷ πεινῶντι, ὑποδέχεσθαι τὸν ἄστεγον, ἀμφιεννύναι τὸν γυμνόν. εἰ δὲ τὰς χρείας οὐχ οἷόν τε ἐκπληροῦν ταῦτας μὴ ἀπὸ χρημάτων, τῶν δὲ χρημάτων ἀφίστασθαι κελεύει, τί ἂν ἕτερον εἴη ποιῶν ὁ Κύριος, ἢ τὰ αὐτὰ διδόναι τε καὶ μὴ διδόναι παραινῶν, τρέφειν τε καὶ μὴ τρέφειν, ὑποδέχεσθαι καὶ ἀποκλείειν, κοινωνεῖν καὶ μὴ κοινωνεῖν; ὅπερ ἁπάντων ἀλογώτατον.[1]

14. *Οὐκ ἄρα ἀποῤῥιπτέον τὰ καὶ τοὺς πέλας ὠφελοῦντα χρήματα. κτήματα γάρ ἐστι κτητὰ ὄντα, καὶ χρήματα χρήσιμα ὄντα καὶ εἰς χρῆσιν ἀνθρώπων παρεσκευασμένα ὑπὸ τοῦ Θεοῦ· ἃ δὴ παράκειται καὶ ὑποβέβληται καθάπερ ὕλη τις καὶ ὄργανα πρὸς χρῆσιν ἀγαθὴν τοῖς εἰδόσι τὸ ὄργανον. ἐὰν χρῇ τεχνικῶς, τεχνικόν ἐστιν· ἐὰν ὑστερῇς τῆς τέχνης, ἀπολαύει τῆς σῆς ἀπαιδευσίας ὂν ἀναίτιον. Τοιοῦτον καὶ ὁ πλοῦτος ὄργανόν ἐστι. δύνασαι χρῆσθαι δικαίως αὐτῷ; πρὸς δικαιοσύνην καθυπηρετεῖ. ἀδίκως τις αὐτῷ χρῆται; πάλιν ὑπηρέτης ἀδικίας εὑρίσκεται. πέφυκε γὰρ ὑπηρετεῖν, ἀλλ' οὐκ ἄρχειν. οὐ χρὴ τοίνυν τὸ ἐξ αὐτοῦ μὴ ἔχον μήτε τὸ ἀγαθὸν μήτε τὸ κακὸν, ἀναίτιον ὂν αἰτιᾶσθαι· ἀλλὰ τὸ δυνάμενον καὶ καλῶς τούτοις χρῆσθαι καὶ κακῶς, ἀφ' ὧν ἂν ἕληται καθ' αὐτό. τοῦτο δέ ἐστι νοῦς ἀνθρώπου καὶ κριτήριον, ἐλεύθερον ἔχον ἐν ἑαυτῷ καὶ τὸ αὐτεξούσιον τῆς μεταχειρήσεως τῶν δοθέντων. ὥστε μὴ τὰ κτήματά τις ἀφανιζέτω μᾶλλον ἢ τὰ πάθη τῆς ψυχῆς, τὰ μὴ συγχωροῦντα τὴν ἀμείνω χρῆσιν τῶν ὑπαρχόντων· ἵνα καλὸς καὶ ἀγαθὸς γενόμενος καὶ τούτοις τοῖς χρήμασι χρῆσθαι δυνηθῇ καλῶς. τὸ οὖν ἀποτάξασθαι πᾶσι τοῖς ὑπάρχουσι καὶ πωλῆσαι πάντα τὰ ὑπάρχοντα, τοῦτον τὸν τρόπον ἐκδεκτέον ὡς ἐπὶ τῶν ψυχικῶν παθῶν εἰρημένων.*[2]

---

[1] The discourse is a discussion on Mark x., 17: "He went away sorrowful; for he had great possessions," &c. The sentiments brought out are, as Olsh. says, rich: only the exegesis is defective in not first expounding the literal sense of Christ's words, or the test—possibly (directly) exacted of the inquirer in this special case.

[2] Another reading is *εἰρημένον*.

ΩΡΙΓΕΝΟΥΣ ΚΑΤΑ ΚΕΛΣΟΥ.

ΤΟΜΟΣ γʹ.

* * * * * * Μετὰ ταῦτα τοσαῦθ' ἡμᾶς αἰτιασάμενος θέλει ἐμφῆναι, ὅτι καὶ ἕτερα ἔχων λέγειν παρασιωπᾷ αὐτά. ἔχει δ' οὕτως αὐτοῦ ἡ λέξις· "Ταῦτα μὲν αἰτιῶμαι καὶ τὰ τοιαῦτα, ἵνα μὴ πάντ' ἀριθμῶ, καί φημι πλημμελεῖν αὐτοὺς ἐπηρεάζοντας εἰς τὸν Θεὸν, ἵνα πονηροὺς ἀνθρώπους ὑπάγωνται κούφαις ἐλπίσι, καὶ παραπείσωσι καταφρονῆσαι τῶν κρειττόνων, ὡς, ἐὰν ἀπέχωνται αὐτῶν, ἄμεινον αὐτοῖς ἔσται. καὶ πρὸς ταῦτα δὲ λέγοιτ' ἂν ἀπὸ τῆς περὶ τῶν προσερχομένων Χριστιανισμῷ ἐνεργείας, ὅτι οὐ πάνυ τι πονηροὶ ὑπάγονται τῷ λόγῳ, ὅσον οἱ ἁπλούστεροι, καὶ (ὡς ἂν οἱ πολλοὶ ὀνομάσαιεν) κομψοί. οὗτοι γὰρ φόβῳ τῷ περὶ τῶν κολάσεων τῶν ἀπαγγελλομένων, κινοῦντι αὐτοὺς καὶ προτρέποντι ἐπὶ τὸ ἀπέχεσθαι τούτων, δι' ἃ αἱ κολάσεις, πειρῶνται ἐπιδιδόναι ἑαυτοὺς τῇ κατὰ Χριστιανισμὸν θεοσεβείᾳ· ἐπὶ τοσοῦτον ὑπὸ τοῦ λόγου κινούμενοι, ὡς φόβῳ τῶν κατὰ τὸν λόγον ὀνομαζομένων αἰωνίων κολάσεων, πάσης τῆς παρ' ἀνθρώποις κατ' αὐτῶν ἐπινοουμένης βασάνου, καὶ μετὰ μυρίων πόνων, θανάτου καταφρονεῖν, ὅπερ οὐδεὶς ἂν τῶν εὖ φρονούντων φήσαι πονηρῶν προαιρέσεων ἔργον εἶναι. Πῶς δ' ἀπὸ προαιρέσεως πονηρᾶς ἐγκράτεια καὶ σωφροσύνη ἀσκεῖται, ἢ τὸ μεταδοτικὸν καὶ κοινωνικόν; ἀλλ' οὐδ' ὁ πρὸς τὸ θεῖον φόβος, ἐφ' ὃν ὡς χρήσιμον τοῖς πολλοῖς παρακαλεῖ ὁ λόγος τοὺς μηδέπω δυναμένους τὸ δι' αὑτὸ αἱρετὸν βλέπειν, καὶ αἱρεῖσθαι αὐτὸ, ὡς μέγιστον ἀγαθὸν, καὶ ὑπὲρ πᾶσαν ἐπαγγελίαν· ἐξ ὧν γὰρ οὐ τοῦτο τῷ κατὰ πονηρίαν αἱρουμένῳ ζῆν ἐγγενέσθαι πέφυκεν.

Ἐὰν δέ τις ἐν τούτοις δεισιδαιμονίαν μᾶλλον ἢ πονηρίαν περὶ τοὺς πολλοὺς τῶν πιστευόντων τῷ λόγῳ εἶναι φαντάζηται, καὶ ἐγκαλῇ ὡς δεισιδαίμονας ποιοῦντι τῷ λόγῳ ἡμῶν· φήσομεν πρὸς αὐτὸν, ὅτι ὥσπερ ἔλεγέ τις τὸν νομοθέτην,[1] πρὸς ἐρωτῶντα εἰ τοὺς καλλίστους ἔθετο τοῖς πολίταις νόμους, ὅτι οὐ τοὺς

---

[1] Another reading—τῶν νομοθετῶν. Solon is meant.

καθάπαξ καλλίστους, ἀλλ' ὧν ἐδύνατο[1] τοὺς καλλίστους· οὕτω λέγοιτο ἂν καὶ ἀπὸ τοῦ πατρὸς τοῦ Χριστιανῶν λόγου, ὅτι ὧν ἐδύναντο οἱ πολλοὶ εἰς βελτίωσιν ἠθῶν, τοὺς καλλίστους ἐθέμην νόμους, καὶ διδασκαλίαν, πόνους οὐ ψευδεῖς ἀπειλῶν, καὶ κολάσεις τοῖς ἁμαρτάνουσιν· ἀλλ ἀληθεῖς μὲν καὶ ἀναγκαίους εἰς ἐπανόρθωσιν τῶν ἀντιτεινόντων προσαγομένους, οὐ μὴν καὶ πάντως νοσούντων τὸ τοῦ κολάζοντος βούλημα, καὶ τὸ τῶν πόνων ἔργον· καὶ τοῦτο γὰρ πρὸς τὸ χρήσιμον, καὶ κατὰ τὸ ἀληθὲς καὶ μετ' ἐπικρύψεως συμφερόντως λέγεται. Πλὴν ὡς ἐπίπαν οὐ πονηροὺς ἐπάγονται οἱ τὰ Χριστιανισμοῦ πρεσβεύοντες, ἀλλ' οὐδὲ ἐπηρεάζομεν εἰς τὸ θεῖον. Λέγομεν γὰρ περὶ αὐτοῦ καὶ ἀληθῆ, καὶ τοῖς πολλοῖς σαφῆ μὲν εἶναι δοκοῦντα, οὐ σαφῆ δ' ὄντα ἐκείνοις, ὡς τοῖς ὀλίγοις, φιλοσοφεῖν ἀσκοῦσι τὰ κατὰ τὸν λόγον.

Ἐπεὶ δὲ καὶ "κούφαις ἐλπίσι φησὶν ὑπάγεσθαι τοὺς Χριστιανίζοντας ὁ Κέλσος· φήσομεν πρὸς αὐτὸν ἐγκαλοῦντα τῷ περὶ τῆς μακαρίας ζωῆς λόγῳ, καὶ τῷ περὶ τῆς πρὸς τὸ θεῖον κοινωνίας, ὅτι ὅσον ἐπὶ σοὶ, ὦ οὗτος, κούφαις ὑπάγονται ἐλπίσι καὶ οἱ τὸν Πυθαγόρου καὶ Πλάτωνος παραδεξάμενοι περὶ ψυχῆς λόγον, πεφυκυίας ἀναβαίνειν ἐπὶ τὴν ἁψῖδα τοῦ οὐρανοῦ, καὶ ἐν τῷ ὑπερουρανίῳ τόπῳ θεωρεῖν τὰ τῶν εὐδαιμόνων θεατῶν θεάματα. Κατὰ σὲ δὲ, ὦ Κέλσε, καὶ οἱ παραδεξάμενοι τὴν τῆς ψυχῆς διαμονὴν, καὶ βιοῦντες ὥσθ' ἥρωες γενέσθαι, καὶ μετὰ Θεῶν ἕξειν τὰς διατριβὰς, κούφαις ἐλπίσιν ὑπάγονται. Τάχα δὲ καὶ οἱ πεισθέντες περὶ τοῦ θυράθεν νοῦ,[2] ὡς θανάτου καινοῦ διαγωγὴν ἕξοντος, κούφαις ἂν ὑπάγεσθαι λέγοιντο ὑπὸ Κέλσου ἐλπίσιν. ἀγωνισάσθω οὖν μηκέτι κρύπτων τὴν ἑαυτοῦ αἵρεσιν, ἀλλ' ὁμολογῶν Ἐπικούρειος εἶναι πρὸς τὰ παρ Ἕλλησι καὶ βαρβάροις οὐκ εὐκαταφρονήτως λεγόμενα περὶ τῆς ἀθανασίας τῆς ψυχῆς, ἢ τῆς ἐπιδιαμονῆς αὐτῆς, ἢ τῆς τοῦ νοῦ ἀθανασίας· καὶ παραδεικνύτω ταῦτα μὲν εἶναι λόγους κούφαις ἐλπίσιν ἀπατῶντας τοὺς συγκατατιθεμένους αὐτοῖς, τοὺς δὲ τῆς ἑαυτοῦ φιλοσοφιας καθαροὺς εἶναι κούφων ἐλπίδων· καὶ ἤτοι προσάγοντας ἐλπίσιν ἀγαθαῖς, ἢ (ὅπερ μᾶλλον ἀκόλουθόν ἐστιν αὐτῷ) οὐδε-

[1] Another reading is ἐδέοντο.—[illegible]
[2] Of the mind as in its origin extrinsic to the body.

μίαν ἐμποιοῦντας ἐλπίδα, διὰ τὴν τῆς ψυχῆς εὐθέως παντελῆ φθοράν. Εἰ μὴ ἄρα Κέλσος καὶ οἱ Ἐπικούρειοι οὐ φήσουσι κούφην εἶναι ἐλπίδα, τὴν περὶ τοῦ τέλους αὐτῶν τῆς ἡδονῆς, ἥτις κατ' αὐτούς ἐστι τὸ ἀγαθὸν, τὸ τῆς σαρκὸς εὐσταθὲς κατάστημα, καὶ τὸ περὶ ταύτης πιστὸν Ἐπικούρῳ ἔλπισμα.[1] *Μὴ ὑπολάβῃς δέ με οὐχ ἁρμοζόντως τῷ Χριστιανῶν λόγῳ παρειληφέναι πρὸς τὸν Κέλσον τοῦς περὶ τῆς ἀθανασίας ἢ τῆς ἐπιδιαμονῆς τῆς ψυχῆς φιλοσοφήσαντας. Πρὸς οὓς κοινά τινα ἔχοντες, εὐκαιρότερον παραστήσομεν, ὅτι ἡ μέλλουσα μακαρία ζωὴ μόνοις ἔσται τοῖς τὴν κατὰ Ιησοῦν θεοσέβειαν, καὶ τὴν εἰς τὸν τῶν ὅλων δημιουργὸν εὐσέβειαν εἰλικρινῆ καὶ καθαρὰν καὶ ἄμικτον πρὸς ὅ, τιποτοῦν γενητὸν παραδεξαμένοις. ποίων δὲ κρειττόνων καταφρονεῖν παραπείθομεν τοὺς ἀνθρώπους παραδεικνύτω ὁ βουλόμενος, καὶ ἀντιπαραθέτω τὸ καθ' ἡμᾶς παρὰ θεῷ ἐν Χριστῷ, τοῦτ' ἔστι τῷ λογῷ καὶ τῇ σοφίᾳ καὶ πάσῃ ἀρετῇ, τέλος μακάριον τοῖς ἀμέμπτως καὶ καθαρῶς βιώσασι, καὶ τὴν πρὸς τὸν τῶν ὅλων Θεὸν ἀγάπην ἀδιαίρετον καὶ ἄσχιστον ἀνειληφόσι, συμβησόμενον, καὶ δωρεᾷ Θεοῦ ἀπαντησόμενον, τῳ καθ' ἑκάστην φιλόσοφων αἵρεσιν ἐν Ἕλλησιν ἢ βαρβάροις, ἢ μυστηριώδη ἐπαγγελίαν, τέλει· καὶ δεικνύτω τὸ κατά τινα τῶν ἄλλων τέλος κρεῖττον τοῦ καθ' ἡμᾶς, καὶ ἀκόλουθον μὲν ὡς ἀληθὲς ἐκεῖνο, τὸ δ' ἡμέτερον οὐκ ἁρμόζον δωρεᾷ Θεοῦ, οὐδὲ τοῖς εὖ βιώσασιν· ἢ οὐκ ὑπὸ θείου πνεύματος, πληρώσαντος τὰς τῶν καθαρῶν προφητῶν ψυχὰς, ταῦτα λελέχθαι. Δεικνύτω δ' ὁ βουλόμενος κρείττονας τοὺς ὁμολογουμένους παρὰ πᾶσιν ἀνθρωπίνους λόγους τῶν ἀποδεικνυμένων θείων καὶ ἐκ θεοφορίας ἀπηγγελμένων· τίνων δὲ καὶ κρειττόνων τοὺς ἀποδεχομένους διδάσκομεν ἄμεινον απαλλάξειν; εἰ γὰρ μὴ φορτικὸν εἰπεῖν, αὐτόθεν φαίνεται, ὅτι οὐδὲν οὐκ ἐπινοηθῆναι ὡς κρεῖττον εἶναι δύναται τοῦ ἐμπιστεῦσαι ἑαυτὸν τῷ ἐπὶ πᾶσι Θεῷ, καὶ ἀναθεῖναι διδασκαλίᾳ παντὸς μὲν ἀφιστάσῃ γενητοῦ, προσαγούσῃ δὲ δι' ἐμψύχου*

[1] Sometimes Origen and other fathers take lower ground than they could have assumed for their argument. They are not to be considered as waiving the higher reasons: the sacred writers themselves, and even our Lord, argue on the lower ground; or, as logicians say, *ab concessis.*

καὶ ζῶντος λόγου, ὅς ἐστι καὶ σοφία ζῶσα, καὶ υἱὸς Θεοῦ, τῷ ἐπὶ πᾶσι Θεῷ. Ἀλλὰ γὰρ αὐτάρκη περιγραφὴν ἐν τούτοις καὶ τοῦ τρίτου τόμου τῶν πρὸς τὸ Κέλσου σύγγραμμα ἡμῖν ὑπαγορευθέντων εἰληφότος, αὐτοῦ που καταπαύσομεν τὸν λόγον.—Book III.

Ἔλεγε δὴ μετὰ τὰ ἐκκείμενα τοιαῦτα, "Ὁπόθεν δὲ καὶ αὐτὸ τοῦτο ἐπῆλθεν αὐτοῖς, Θεοῦ υἱὸν καλεῖν, σημαίνω. Ἄνδρες παλαιοὶ τόνδε τὸν κόσμον, ὡς ἐκ Θεοῦ γενόμενον, παῖδά τε αὐτοῦ καὶ ἠΐθεον προσεῖπον. Πάνυ γοῦν ὅμοιος οὗτός τε κἀκεῖνος παῖς Θεοῦ." Ὠήθη δή υἱόν Θεοῦ ἡμᾶς λέγειν, παραποιήσαντας τὰ περὶ τοῦ κόσμου, ὡς ἐκ Θεοῦ γενομένου, καὶ υἱοῦ ὀντὸς αὐτοῦ, καὶ Θεοῦ. Οὐ γὰρ ἐδυνήθη ἐπιστήσας τοῖς χρόνοις Μωσέως καὶ τῶν προφητων ἰδεῖν, ὅτι καθόλου τὸ εἶνάι τινα υἱὸν Θεοῦ πρὸ Ἑλλήνων, καὶ ὧν φησιν ὁ Κέλσος παλαιῶν ἀνδρῶν, οἱ παρ' Ἰουδαίοις προφῆται προεφήτευσαν· ἀλλ' οὐδ' ἐβουλήθη τὸ παρὰ Πλάτωνι ἐν ταῖς ἐπιστολαῖς λελεγμένον, οὗ ἐν τοῖς ἀνωτέρω ἐμνήσθημεν, περὶ τοῦ διακοσμήσαντος τόδε τὸ πᾶν, ὡς ὄντος υἱοῦ Θεοῦ, παραθέσθαι· ἵνα μὴ καὶ αὐτὸς ὑπὸ τοῦ Πλάτωνος, ὃν πολλάκις ἐσέμνυνεν, ἀναγκασθῇ παραδέξασθαι, ὅτι ὁ μὲν δημιουργὸς τοῦδε τοῦ παντὸς υἱός ἐστι τοῦ Θεοῦ, ὁ δὲ πρῶτος καὶ ἐπὶ πᾶσι Θεὸς πατήρ ἐστιν ἀυτοῦ. Εἰ δὲ τῷ τηλικούτῳ υἱῷ τοῦ Θεοῦ ἡνῶσθαι φάσκοντες τῇ ἄκρᾳ μετοχῇ ἐκέινου τὴν τοῦ Ἰησοῦ ψυχὴν, οὐκ ἔτι χωριζομένην ἀπ' ἐκείνου αὐτήν, οὐδὲν θαυμαστόν· οἴδασι γὰρ οἱ ἱεροὶ τῶν θείων γραμμάτων λόγοι καὶ ἄλλα, δύο τῇ ἑαυτῶν φύσει τυγχάνοντα, εἰς ἓν ἀλλήλοις εἶναι λελογισμένα καὶ ὄντα, οἷον περὶ μὲν ἀνδρὸς καὶ γυναικὸς λέλεκται, οὐκ ἔτι εἰσὶ δύο ἀλλὰ σὰρξ μία· περὶ δε τοῦ τελείου, καὶ κολλωμένου τῷ ἀληθινῷ Κυρίῳ, λόγῳ καὶ σοφίᾳ, καὶ ἀληθείᾳ, ὅτι ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμα ἐστιν. Εἰ δ' ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν· τίς μᾶλλον της Ἰησοῦ ψυχής ἢ κἂν παραπλησίως κεκόλληται τῷ Κυρίῳ, τῷ αὐτολόγῳ καὶ αὐτοσοφίᾳ καὶ αὐτοαληθείᾳ, καὶ αὐτοδικαιοσύνῃ; ὅπερ εἰ οὕτως ἔχει, οὐκ εἰσὶ δύο ἡ ψυχὴ τοῦ Ἰησοῦ πρὸς τὸν πάσης κτίσεως προτότοκον Θεὸν λόγον. Εἶτα ἐὰν μὲν τὴν αὐτὴν ἀρετὴν λέγοντες ἀνθρώπου καὶ Θεοῦ

οἱ ἀπὸ τῆς Στοᾶς φιλόσοφοι[1] μὴ εὐδαιμονέστερον λέγωσιν εἶναι, τὸν ἐπὶ πᾶσι Θεὸν τοῦ ἐν ἀνθρώποις κατ' αὐτοὺς σοφοῦ, ἀλλ' ἴσην εἶναι τὴν ἀμφοτέρων εὐδαιμονίαν, Κέλσος οὐ καταγελᾷ, οὐδὲ χλευάζει τὸ δόγμα. Ἐὰν δ' ὁ θεῖος λόγος φάσκῃ κολλᾶσθαι ὑπὸ τῆς ἀρετῆς, καὶ ἑνοῦσθαι τῷ αὐτολόγῳ τὸν τέλειον, ὡς κατὰ τοῦτον ἀναβεβηκότος, μὴ χωρίζειν ἡμᾶς τὴν Ἰησοῦ ψυχὴν τοῦ προτοτόκου πάσης κτίσεως, γελᾷ τὸ λέγεσθαι υἱὸν θεοῦ Ἰησοῦν· οὐχ ὁρῶν, τίνα ἐστὶ τὰ περὶ αὐτοῦ ἐν ἀπορρήτῳ μυστικῶς ἐν ταῖς θείαις γράφαις λεγομένα. Ἵνα δὲ προσαγάγωμεν τῇ παραδοχῇ τοῦ λεγομένου τὸν βουλόμενον ἀκολουθίαις δογμάτων ἕπεσθαι καὶ ὠφελεῖσθαι. λέγομεν, ὅτι σῶμα Χριστοῦ φασιν εἶναι οἱ θεῖοι λόγοι, ὑπὸ τοῦ υἱοῦ τοῦ Θεοῦ ψυχούμενον, τὴν πᾶσαν τοῦ Θεοῦ ἐκκλησιαν· μέλη δὲ τούτου τοῦ σώματος εἶναι ὡς ὅλου τοὺς δὲ τινας τοὺς πιστεύοντας. Ἐπείπερ ὥσπερ ψυχὴ ζωοποιεῖ καὶ κινεῖ τὸ σῶμα, οὐ πεφυκὸς ἀφ' ἑαυτοῦ κινεῖσθαι ζωτικῶς, οὕτως ὁ λόγος, κινῶν ἐπὶ τὰ δέοντα, καὶ ἐνεργῶν, τὸ ὅλον σῶμα τὴν ἐκκλησίαν κινεὶ, καὶ ἕκαστον μέλος τῶν ἀπὸ τῆς ἐκκλησίας, οὐδὲν χωρὶς λόγου πράττοντα. Ἔιπερ οὖν τοῦτο οὐκ εὐκαταφρόνητον, ὡς οἶμαι, ἔχει ἀκολουθίαν· τί χαλεπὸν, τῃ ἄκρᾳ καὶ ἀνυπερβλήτῳ κοινωνίᾳ πρὸς τὸν αὐτολόγον τὴν Ἰησοῦ ψυχὴν, καὶ ἀπαξαπλῶς τὸν Ἰησοῦν μὴ κεχωρίσθαι τοῦ μονογενοῦς, καὶ πρωτοτόκου πάσης κτίσεως, μήδ' ἕτερον ἔτι τυγχάνειν αὐτοῦ;—Book VI.

---

[1] Seneca, Ep. 74, mentions this as a saying of Sextius: "Jovem plus non posse, quam bonum virum. Plura Jupiter habet, quæ præstet hominibus: sed inter duos bonos non est melior, qui locupletior; non magis quam inter duos, quibus par scientia regendi gubernaculum est, meliorem dixeris, cui majus speciosiusque navigium est. Jupiter quo antecedit virum bonum? diutius bonus est. Sapiens nihilo se minoris æstimat, quod virtutes ejus spatio breviore clauduntur."

See judicious remarks on the advantage taken by the fathers of the philosophy and mythology of the Gentiles, in Vaughan's "Causes of the Corruption of Christianity" "It remains to be seen that there was anything in the conduct of the early ecclesiastical writers, in appealing to the things existing in common between Christianity and Heathenism, that is not consistent with all our ideas of analogical reasoning. There should be no more to condemn in Justin Martyr or Origen, because they reason after this manner, than in Bishop Butler, because he so reasons in his 'Analogy'." Dr. V. adverts to the interesting fact that Butler in effect acknowledges his argument as having been suggested to him by Origen.

IX. ATHANASIUS.

X. GREGORY OF NAZIAZUM.

"To praise Athanasius," said Gregory in his funereal elogy, "is to praise virtue." He calls him the "pillar of the Church." Early ordained a deacon in his native city, Alexandria, he already at the Council of Nice drew attention by the power with which he confuted Arius. On the death of Alexander, he was called to succeed him in the Episcopate by general acclamation. Envy and malignity waited on his steps. Once and again, through the influence of the Arian party, exiled from his home, he once and again was recalled, and continued near fifty years the light of Alexandria and of Christendom. He died in the reign of Valens, in 373.

We associate with his name that of Gregory, who, with Athanasius, and after him, fought illustriously the battles of the faith, both against the Arians, and the Pneumatomachi or deniers of the divinity of the Holy Ghost. He was educated at Athens, and became eminent as a rhetorician. After exercising the pastorate for a time in his native town of Naziazum, he was translated to Constantinople, and long presided over the church there. He died in 389 or 391. His works consist of Orations, Poems, and Letters.

The student will feel interested in reading the exposition of the Arian errors in Athanasius' own words. We give also his testimony to the inspired Canon.

The selection from Gregory (on the Divinity of the Holy Ghost) naturally follows the Anti-Arian argument of Athanasius. It is from his thirty-seventh Oration.

ΑΘΑΝΑΣΙΟΥ ΚΑΤΑ ΑΡΕΙΑΝΩΝ ΕΓΚΥΚΛΙΟΣ.

Τί δὲ δεῖ λόγων μακρῶν; ὅπουγε καὶ αὐτοὶ οὗτοι κατήγοροι τῆς Ἀρειανῆς αἱρέσεώς εἰσιν· εἰ γὰρ οὐ θαῤῥοῦσιν εἰπεῖν, ἀλλὰ μᾶλλον κρύπτουσι τὰ ἐκείνων τῆς βλασφημίας ῥήματα, δῆλοί εἰσι γινώσκοντες ξένην καὶ ἀλλοτρίαν τῆς ἀληθείας εἶναι τὴν ἅιρεσιν ταύτην· ἐπειδὴ δὲ κρύπτουσιν ἀυτοὶ καὶ φοβοῦνται λέγειν, ἀναγκαῖον ἡμᾶς ἀποδύσασθαὶ κάλυμμα τῆς ἀσεβείας καὶ δειγματίσαι τὴν αἵρεσιν· εἰδότας ἃ τότε οἱ περὶ Ἀρείον ἔλεγον, καὶ πῶς ἐξεβλήθησαν ἀπὸ τῆς ἐκκλησίας, καὶ καθηρέθησαν ἀπὸ τοῦ κλήρου. συγγνώμην μέν τοι πρότερον αἰτησαμένους, ἐφ᾽ οἷς μέλλομεν προσφέρειν ῥηπαροῖς ῥήμασιν, ὅτι μὴ φρονοῦντες, ἀλλὰ ἐλέγχοντες τοὺς αἱρετικοὺς, ταῦτα λέγομεν· ὁ τοίνυν μακαρίτης Ἀλέξανδρος ἐπίσκοπος, ἐξέβαλε τὸν Ἀρείον τῆς ἐκκλησίας, λέγοντα ταῦτα· οὐκ ἀεὶ ὁ Θεὸς πατὴρ, οὐκ ἀεὶ ἦν ὁ υἱός· ἀλλὰ πάντων ὄντων ἐξ οὐκ ὄντων, καὶ ὁ υἱὸς τοῦ Θεοῦ ἐξ οὐκ ὄντων ἐστὶν, καὶ πάντων ὄντων κτισμάτων, καὶ ἀυτὸς κτίσμα καὶ ποίημά ἐστι· καὶ πάντων οὐκ ὄντων πρότερον ἀλλ᾽ ἐπιγενομένων, καὶ αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ οὐκ ἦν, πρὶν γεννηθῆναι, ἀλλ᾽ ἀρχὴν ἔχει τοῦ εἶναι· τότε γὰρ γέγονεν, ὅτε βεβούληται αὐτὸν ὁ Θεὸς δημιουργῆσαι· ἕν γὰρ τῶν ἔργων ἐστὶ καὶ αὐτὸς· καὶ ὅτι μὲν φύσει τρεπτός ἐστι, τῷ δὲ ἰδίῳ αὐτεξουσίῳ βεβούληται μένειν καλὸς, ὅτε μέν τοι θέλει, δύναται τρέπεσθαι καὶ αὐτὸς, ὥσπερ καὶ τὰ πάντα· διὰ τοῦτο γὰρ ὁ Θεὸς προγινώσκων ἔσεσθαι καλὸν αὐτὸν, προλαβὼν ταύτην αὐτῳ τὴν δόξαν δέδωκεν, ἣν ἂν καὶ ἐκ τῆς ἀρετῆς ἔσχε μετὰ ταῦτα, ὥστε ἐξ ἔργων αὐτοῦ, ὧν προέγνω ὁ Θεὸς τοιοῦτον αὐτὸν νῦν γεγονέναι. λέγουσι γοῦν, ὅτι οὐδὲ Θεὸς ἀληθινός ἐστιν ὁ Χριστὸς, ἀλλὰ μετοχῇ καὶ αὐτὸς, ὥσπερ οἱ ἄλλοι πάντες, λέγεται Θεός· προστιθέασι δὲ τοῦτο, ὅτι οὐκ ἔστιν αὐτὸς ὁ ἐν τῷ πατρὶ φύσει, καὶ ἴδιος οὐσίας καὶ ἡ ἰδία σοφία αὐτοῦ Λόγος, ἐν ᾗ τοῦτον πεποίηκε τὸν κόσμον, ἀλλ᾽ ἄλλος μὲν λόγος, ὁ ἐν τῷ πατρὶ ἴδιος, καὶ

ἄλλη ἐν τῷ πατρὶ ἀϊδία αὐτῷ σοφία, ἐν ᾗ σοφίᾳ καὶ τοῦτον τὸν λόγον πεποίηκεν· αὐτὸς δὲ οὗτος ὁ Κύριος, κατ᾽ ἐπίνοιαν λέγεται λόγος διὰ τὰ λογικὰ, καὶ κατ᾽ ἐπίνοιαν λέγεται σοφια, διὰ τὰ σοφιζόμενα· ἀμέλει, φασὶν, ὅτι ξένων καὶ ἀλλοτρίων ὄντων πάντων, κατὰ τὴν οὐσίαν τοῦ πατρὸς, οὕτως καὶ αὐτὸς ξένος μὲν καὶ κατ᾽ ἀλλοτρίος κατὰ πάντα τῆς τοῦ πατρὸς οὐσίας ἐστὶν, τῶν δὲ γενητῶν καὶ κτισμάτων ἴδιος καὶ εἷς τυγχάνει, κτίσμα γάρ ἐστι, δὲ ποίημα, καὶ ἔργον· πάλιν τέ φασιν, ὅτι οὐχ ἡμᾶς ἔκτισε δι᾽ ἐκεῖνον, ἀλλ᾽ ἐκεῖνον δι᾽ ἡμᾶς· ἦν γάρ, φασι, μόνος ὁ Θεὸς, καὶ οὐκ ἦν ὁ λόγος σὺν αὐτῷ, εἶτα θελήσας ἡμᾶς δημιουργῆσαι, τότε πεποίηκε τοῦτον, καὶ ἀφ᾽ οὗ γέγονεν, ὠνόμασεν αὐτὸν λόγον, καὶ υἱὸν, καὶ σοφίαν, ἵνα ἡμὰς δι᾽ αὐτοῦ δημιουργήσῃ· καὶ, ὥσπερ τὰ πάντα βουλήματι τοῦ Θεοῦ ὑπέστη, οὐκ ὄντα πρότερον, οὕτως καὶ αὐτὸς τῷ βουλήματι τοῦ θεοῦ, οὐκ ὢν πρότερον, ἐγενετο· οὐ γάρ ἐστι τοῦ πατρὸς ἴδιον καὶ φύσει γέννημα ὁ λόγος, ἀλλὰ καὶ αὐτὸς χάριτι γέγονεν. ὁ γάρ ὢν Θεὸς, τὸν μὴ ὄντα υἱόν πεποίηκε τῇ βουλῇ, ἐν ᾗ καὶ τὰ πάντα πεποίηκε, καὶ ἐδημιούργησε, καὶ ἔκτισε, καὶ γενέσθαι ἠθέλησε· καὶ γὰρ καὶ τοῦτο λέγουσιν, ὅτι οὐκ ἔστιν ὁ Χριστὸς ἡ φυσικὴ καὶ ἀληθινὴ δυναμις τοῦ θεοῦ, ἀλλ᾽ ὥσπερ ἡ κάμπη καὶ ὁ βροῦχος λέγονται δύναμις, οὕτως καὶ αὐτὸς λέγεται δύναμις τοῦ πατρός. πρὸς τούτοις ἔλεγεν, ὅτι τῷ υἱῷ πατὴρ, ἀόρατος ὑπάρχει, καὶ οὔτε ὁρᾶν, οὔτε γινώσκειν τελείως καὶ ἀκριβῶς ὁ υἱὸς τὸν πατέρα δύναται· ἀρχὴν γὰρ ἔχων τοῦ εἶναί, οὐ δύναται τὸν ἄναρχον γινώσκειν· ἀλλὰ δὲ ὃ γινώσκει, καὶ βλέπει, ἀναλόγως οἶδε τοῖς ἰδίοις μέτροις, καὶ βλέπει, ὥσπερ καὶ ἡμεῖς γινώσκομεν, καὶ βλέπομεν κατὰ τὴν ἰδίαν Θεοῦ δύναμιν. προστιθεῖ δὲ καὶ τοῦτο, ὅτι οὐ μόνον τὸν πατέρα οὐκ οἶδεν ἀκριβῶς, ἀλλ᾽ οὐδὲ τὴν ἰδίαν αὐτοῦ οὐσίαν οἶδε. ταῦτα καὶ τὰ τοιαῦτα λέγων μὲν ὁ Ἀρείος, αἱρετικὸς ἀπεδείχθη· ἐγὼ δὲ καὶ μόνον γράφων, ἐθρήνουν ἐμαυτὸν ἐνθυμούμενος τὰ κατὰ τούτων, καὶ κρατῶν τὴν τῆς εὐσεβείας διάνοιαν.

Καὶ γὰρ καὶ ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ, οἱ συνελθόντες πάντες πανταχόθεν Ἐπίσκοποι, τὰς μὲν ἀκοὰς ἐπὶ τούτοις ἐκράτουν, πανψηφοὶ δὲ πάντες, καὶ διὰ ταῦτα κατέκριναν τὴν ἅίρεσιν ταύτην, καὶ ἀνεθεμάτισαν, εἰπόντες ἀλλοτρίαν εἶναι καὶ

ξένην ταύτην τῆς Ἐκκλησιάστικῆς πίστεως. οὐκ ἀνάγκη δὲ τοὺς κρίνοντας ἦγεν ἐπὶ τοῦτο, ἀλλὰ πάντες προαιρέσει τὴν ἀλήθειαν ἐξεδιώκουν, πεποιήκασι δὲ τοῦτο δικαίως καὶ ὀρθῶς. ἀθεότης γὰρ ἐκ τούτων εἰσάγεται, καὶ μᾶλλον παρὰ τὰς γραφὰς Ἰουδαϊσμὸς, ἔχων ἐγγὺς ἐπακολουθοῦντα τὸν Ἑλληνισμὸν, ὥστε τὸν ταῦτα φρονοῦντα, μηκέτι Χριστιανὸν καλεῖσθαι· πάντα γὰρ ταῦτα τῶν γραφῶν ἐστιν ἐναντία· ὁ μὲν γὰρ Ἰωάννης φησὶν, "ἐν ἀρχῇ ἦν ὁ Λόγος," οὗτοι δὲ φάσκουσιν, οὐκ ἦν πρὶν γεννηθῇ, καὶ αὐτὸς δὲ πάλιν ἔγραψε, "καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτου Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ αἰώνιος." οὗτοι δὲ ὥσπερ ἀντιμαχόμενοι, φάσκουσι, μὴ εἶναι τὸν Χριστὸν ἀληθινόν Θεόν, ἀλλὰ κατὰ μετοχὴν καὶ αὐτὸν ὡς πάντας λέγεσθαι Θεόν. καὶ ὁ μὲν Ἀπόστολος αἰτιᾶται τοὺς Ἕλληνας, ὅτι κτίσμα σέβουσι, λέγων, ἐλάτρευσαν τὴν κτίσιν παρὰ τὸν κτίσαντα Θεόν. οὗτοι δὲ κτίσμα λέγοντες εἶναι τὸν Κύριον, καὶ ὡς κτίσματι λατρεύοντες αὐτῷ, τί διαφέρουσιν Ἑλλήνων; πῶς γὰρ εἰ τοῦτο φρονοῦσιν, οὐχὶ καὶ κατ' αυτῶν ἐστι τὸ ἀνάγνωσμα, καὶ ὡς αὐτὸς μεμφόμενός ἐστιν ὁ μακάριος Παῦλος; καὶ ὁ μὲν Κύριός φησιν, "ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν·" καὶ, "ὁ ἑωρακὼς εμὲ, ἑώρακε τὸν πατέρα·" καὶ ὁ παρ' αὐτοῦ δὲ ἀποσταλεὶς κηρύττειν Ἀπόστολος γράφει, "ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ·" οὗτοι δέ τολμῶσι διαιρεῖν, καὶ ἀλλότριον αὐτὸν τῆς τοῦ πατρὸς οὐσίας, καὶ ἀϊδιότητος λέγειν, καὶ τρεπτὸν εἰσάγειν οἱ ἄθεοι, οὐ βλέποντες, ὅτι ταῦτα λέγοντες, οὐκέτι ποιοῦσιν αὐτὸν ἓν μετὰ τοῦ πατρὸς, ἀλλὰ μετὰ τῶν κτισμάτων. Τίς γὰρ οὐχ ὁρᾷ, ὅτι ἀδιαίρετόν ἐστι τὸ ἀπαύγασμα πρὸς τὸ φῶς, καὶ ἴδιον αὐτου συνύπαρχον τούτῳ φύσει, καὶ οὐκ ἐπιγέγονεν ὕστερον; εἶτα τοῦ πατρὸς λέγοντος, "οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς," καὶ τῶν γραφῶν λεγουσῶν, τοῦτον εἶναι τὸν τοῦ πατρὸς λόγον, ἐν ᾧ καὶ οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ ἁπλῶς, πάντα δι αὐτοῦ ἐγένετο· οὗτοι καινῶν ἐφεύρεται δογμάτων καὶ πλαστῶν γενόμενοι, ἕτερον ἐπεισάγουσι λόγον, καὶ ἄλλην σοφίαν τοῦ πατρὸς εἶναι. τοῦτον δὲ κατ' ἐπίνοιαν διὰ τὰ λογικὰ λέγεσθαι λόγον καὶ σοφίαν, οὐκ ὁρῶντες ἐκ τούτου τὸ ἄτοπον. εἰ γὰρ δι ἡμᾶς λέγεται κατ' ἐπίνοιαν λόγος

καὶ σοφία, τί ἂν εἴη αὐτὸς, οὐκ ἂν εἴποιεν. Εἰ γὰρ ταῦτα αὐτὸν λέγουσιν εἶναι αἱ γραφαὶ, οὗτοι δὲ ταῦτα εἶναι τὸν Κύριον οὐ θέλουσιν, φανερῶς οὐδὲ ὑπάρχειν αὐτὸν θέλουσιν οἱ ἄθεοι καὶ τῶν γραφῶν ἐναντίοι. καὶ τοῦτο οἱ μὲν πιστοὶ δύνανται παρ' αὐτῆς τε τῆς πατρικῆς φωνῆς, καὶ παρὰ τῶν προσκυνούντων αὐτὸν Ἀγγέλων, καὶ τῶν περὶ αὐτοῦ ἁγίων γραψάντων μαθεῖν· οὗτοι δὲ ἐπεὶ τὴν διάνοιαν οὐκ ἔχουσι καθαρὰν, οὐδὲ δύνανται θείων ἐπακούειν καὶ θεολόγων ἀνδρῶν, δύνανται κἂν παρὰ τῶν ὁμοίων αὐτοῖς δαιμόνων μαθεῖν, ὅτι μὴ ὡς πολλῶν ὄντων ἀνεφώνουν, ἀλλὰ τοῦτον μόνον εἰδότες ἔλεγον· "Σὺ εἶ ὁ ἅγιος τοῦ Θεοῦ, καὶ ὁ υἱὸς τοῦ Θεοῦ." Καὶ γὰρ ὁ τὴν αἵρεσιν αὐτοῖς ὑποβαλλων, πειράζων ἐν τῷ ὄρει, οὐκ ἔλεγεν, εἰ καὶ σὺ υἱὸς εἶ τοῦ Θεοῦ, ὡς ὄντων ἄλλων· ἀλλ' ὡς μόνου ὄντος αὐτοῦ, εἰ σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ. Ἀλλ' οἱ θαυμαστοὶ, ὥσπερ Ἕλληνες ἐκπεσόντες τῆς περὶ τοῦ ἑνὸς Θεοῦ ἐννοίας εἰς πολυθεότητα κατῆλθον· οὕτω καὶ οὗτοι μὴ πιστεύοντες ἕνα εἶναι τὸν τοῦ πατρὸς λόγον, εἰς πολλῶν ἐπίνοιαν πεπτώκασι· καὶ τὸν μὲν ὄντως ὄντα Θεὸν ἀληθινὸν λόγον ἀρνοῦνται, κτίσμα δὲ αὐτὸν καὶ ἐνθυμεῖσθαι τετολμήκασιν, οὐ βλέποντες ὅσης ἀσεβείας μεστόν ἐστι τὸ φρόνημα. Εἰ γὰρ κτίσμα ἐστὶ, πῶς αὐτὸς τῶν κτισμάτων ἐστὶ δημιουργός; ἢ πῶς αὐτὸς ὁ υἱὸς, καὶ σοφία, καὶ Λόγος; Λόγος γὰρ οὐ κτίζεται, ἀλλὰ γεννᾶται, καὶ τὸ κτίσμα οὐχὶ υἱὸς, ἀλλὰ ποίημα. καὶ εἰ τὰ κτίσματα δι' αὐτοῦ γέγονε, κτίσμα δέ ἐστι καὶ αὐτὸς, διὰ τίνος ἄρα καὶ αὐτὸς γέγονεν; ἀνάγκη γὰρ, τὰ ποιήματα διά τινος γίνεσθαι, ὥσπερ οὖν καὶ γέγονε διὰ τοῦ λόγου, ὅτι μὴ αὐτὸς ἦν ποίημα, ἀλλὰ λόγος τοῦ πατρός· καὶ πάλιν, εἰ ἄλλη ἐστὶν ἡ ἐν τῷ πατρὶ σοφία παρὰ τόν Κύριον, καὶ ἡ σοφία ἐν σοφίᾳ γέγονεν. Εἰ δὲ σοφία ἐστὶν ὁ τοῦ Θεοῦ λόγος, εἴη ἂν καὶ ὁ λόγος ἐν λόγῳ γεγονώς. Καὶ εἰ ὁ λόγος τοῦ Θεοῦ ἐστὶν ὁ υἱὸς, εἴη ἂν καὶ ὁ υἱὸς ἐν τῷ υἱῷ ποιηθείς. Πῶς τοίνυν ὁ Κύριος ἔλεγεν, ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοὶ, ὄντος ἑτέρου ἐν τῷ πατρὶ, ἐν ᾧ καὶ αὐτὸς ὁ Κύριος γέγονε; πῶς δὲ καὶ ὁ Ἰωάννης, ἀφεὶς ἐκεῖνον, περὶ τούτου διηγεῖται, λέγων πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν; Εἰ δὲ πάντα βουλήματι τὰ γενόμενα δι' αὐτοῦ γέγονεν, πῶς αὐτὸς εἷς τῶν γενομενῶν ἐστί;

πῶς καὶ τοῦ Ἀποστόλου λέγοντος, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, οὗτοι λέγουσιν, οὐχ ἡμεῖς δι' αὐτὸν, ἀλλ' ἐκεῖνος δι' ἡμᾶς γέγονεν; ἔδει γὰρ, εἴπερ οὕτως ἦν, εἰπεῖν αὐτὸν, δι' οὓς γέγονεν ὁ λόγος. νῦν δὲ μὴ τοῦτο λέγων, ἀλλὰ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, δείκνυσι τούτους αἱρετικοὺς καὶ συκοφάντας. Ἄλλως τε, εἰ τεθαῤῥήκασιν ἄλλον εἶναι τὸν λόγον ἐν τῷ Θεῷ, ἐπεὶ μὴ φανερὰς ἔχουσι τὰς ἐκ τῶν γραφῶν ἀποδείξεις, κἂν ἔργον αὐτοῦ δεικνύτωσαν, εἰ τὰ τοῦ πατρὸς ἔργα χωρὶς τοῦ λόγου γεγόνασιν· ἵνα τινὰ ἔχειν δοκῶσι πρόφασιν τῆς ἑαυτῶν διανοίας. Τοῦ μὲν γὰρ ἀληθινοῦ λόγου, πᾶσίν ἐστι φανερὰ τὰ ἔργα, ὡς καὶ ἐξ αὐτῶν ἀναλόγως θεωρεῖσθαι. Ὡς γὰρ τὴν κτίσιν ὁρῶντες, διανοούμεθα τὸν ταύτην κτίσαντα Θεὸν, οὕτως βλέποντες μηδὲν ἄτακτον ἐν τοῖς γενομένοις, ἀλλὰ πάντα τάξει καὶ προνοίᾳ κινούμενά τε καὶ μένοντα, ἐνθυμούμεθα λόγον εἶναι τοῦ Θεοῦ, τὸν ἐπὶ πάντων ὄντα τε καὶ ἡγεμονεύοντα· Τοῦτον καὶ αἱ θεῖαι γραφαὶ μαρτυροῦσι λέγουσαι, αὐτόν τε εἶναι τὸν τοῦ Θεοῦ Λόγον, καὶ ὅτι δι' αὐτοῦ τὰ πάντα ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Ἐκείνου δὲ, περὶ οὗ λέγουσιν, οὐδὲν οὔτε ῥητὸν, οὔτε ἔργον ὑπ' αὐτῶν δείκνυται. Καὶ γὰρ καὶ αὐτὸς ὁ πατὴρ λέγων, οὗτός ἐστιν ὁ υἱὸς ὁ ἀγαπητὸς, οὐδένα ἕτερον εἶναι παρ' αὐτὸν σημαίνει. Οὐκοῦν κατὰ τοῦτο Μανιχαίοις λοιπὸν οἱ θαυμαστοὶ προσετέθησαν. Καὶ γὰρ κἀκεῖνοι μόνον ἄχρις ὀνόματος ἀγαθὸν Θεὸν ὀνομάζουσι, καὶ ἔργον αὐτοῦ οὔτε βλεπόμενον, οὔτε ἀόρατον δεικνύειν δύνανται· τὸν δὲ ἀληθινὸν καὶ ὄντως ὄντα Θεὸν, τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, καὶ πάντων ἀοράτων ἀρνούμενοι, παντελῶς εἰσι μυθολόγοι.[1]

---

[1] It has been remarked that Athanasius uses little argumentation in defence of the Divinity of the Spirit. But, though from circumstances, he threw his soul chiefly into the discussions with Arius and his sect, he earnestly and decidedly oppo-ed the beginning of the Macedonian heresy. See his epistle to Serapion: "κατὰ τῶν λεγόντων, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον κτίσμα ἐστίν."

ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ.

Ἐπειδή περ τινὲς ἐπεχείρησαν ἀνατάξασθαι ἑαυτοῖς τὰ λεγόμενα ἀπόκρυφα, καὶ ἐπιμίξαι ταῦτα τῇ θεοπνεύστῳ γραφῇ, περὶ ἧς ἐπληφορήθημεν, καθὼς παρέδοσαν τοῖς πατράσιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου· ἔδοξεν κἀμοὶ προτραπέντι παρὰ γνησίων ἀδελφῶν, καὶ μαθόντι, ἄνωθεν ἑξῆς ἐκθέσθαι τὰ κανονιζόμενα καὶ παραδοθέντα πιστευθέντα τε θεῖα εἶναι βιβλία· ἵνα ἕκαστος εἰ μὲν ἠπατήθη, καταγνῷ τῶν πλανησάντων· ὁ δὲ καθαρὸς διαμείνας χαίρῃ πάλιν ὑπομιμνησκόμενος· ἔτι τοίνυν τῆς μὲν παλαιᾶς διαθήκης βιβλία τῷ ἀριθμῷ τὰ πάντα εἰκοσιδύο. Τοσαῦτα γάρ, ὡς ἤκουσα, καὶ τὰ στοιχεῖα τὰ παρ' Ἑβραίοις εἶναι παραδέδοται. Τῇ δὲ τάξει καὶ τῷ ὀνόματί ἐστιν ἕκαστον, οὕτως· πρῶτον Γένεσις, εἶτα Ἔξοδος, εἶτα Λευιτικὸν, καὶ μετὰ τοῦτο Ἀριθμοὶ, καὶ λοιπὸν τὸ Δευτερονόμιον. Ἑξῆς δὲ τούτοις ἐστὶν Ἰησοῦς ὁ τοῦ Ναυὴ, καὶ Κριταὶ, καὶ μετὰ τοῦτο ἡ Ῥοῦθ. Καὶ πάλιν ἑξῆς Βασιλεῶν τέσσαρα βιβλία· καὶ τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον[1] εἰς ἓν βιβλίον ἀριθμεῖται· τὸ δὲ τρίτον καὶ τέταρτον ὁμοίως εἰς ἕν. Μετὰ δὲ ταῦτα Παραλειπόμενα ά καὶ β', ὁμοίως εἰς ἓν βιβλίον πάλιν ἀριθμούμενα, εἶτα Ἔσδρας ά καὶ β' ὁμοίως εἰς ἕν. Μετὰ δὲ ταῦτα βίβλος ψαλμῶν, καὶ ἑξῆς Παροιμίαι· Εἶτα Ἐκκλησιαστὴς καὶ Ἆσμα ἀσμάτων. Πρὸς τούτοις ἐστὶ καὶ Ἰὼβ καὶ λοιπὸν προφῆται· οἱ μὲν δώδεκα εἰς ἓν βιβλίον ἀριθμούμενοι. Εἶτα Ἡσαΐας, Ἱερεμίας, καὶ σὺν αὐτῷ Βαροὺχ, θρῆνοι, καὶ ἐπιστολὴ, καὶ μετ' αὐτὸν Ἐζεκιὴλ καὶ Δανιήλ· ἄχρι τούτων τὰ τῆς παλαιᾶς διαθήκης ἵσταται. Τὰ δὲ τῆς καινῆς παλιν οὐκ ὀκνητέον εἰπεῖν· ἔστι γὰρ ταῦτα. Εὐαγγέλια τέσσαρα· κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην· Εἶτα μετὰ ταῦτα Πράξεις ἀποστόλων, καὶ Ἐπιστολαὶ καθολικαὶ καλούμεναι τῶν ἀποστόλων ἑπτά· οὕτως Ἰακώβου μὲν ά, Πέτρου δὲ β'. Εἶτα Ἰωάννου γ'. Καὶ μετὰ ταύτας Ἰούδα ά· πρὸς τούτοις Παύλου ἀποστόλου εἰσὶν ἐπιστολαὶ δεκατέσσαρες τῇ τάξει γραφόμεναι οὕτως· πρώτη πρὸς Ῥωμαίους. Εἶτα πρὸς Κορινθίους δύο· καὶ μετὰ ταῦτα πρὸς Γαλάτας· καὶ ἑξῆς πρὸς Ἐφεσίους. Εἶτα πρὸς Φιλιππησίους καὶ πρὸς Κολασσαεῖς· Καὶ μετὰ ταύτας πρὸς Θεσσαλονικεῖς δύο· καὶ ἡ πρὸς Ἑβραίους· καὶ εὐθὺς πρὸς

[1] The names in the Sept. for 1st and 2nd Sam.—Εσδρας β' is Nehemiah.

μὲν Τιμόθεον δύο· πρὸς δὲ Τίτον μία· καὶ τελευταία ἡ πρὸς Φιλήμονα· καὶ πάλιν Ἰωάννου Ἀποκάλυψις. Ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥστε τὸν διψῶντα ἐμφορεῖσθαι τῶν ἐν τούτοις λογίων· ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας διδασκαλεῖον εὐαγγελίζεται.[1] Μηδεὶς τούτοις ἐπιβαλλέτω, μὴ δὲ τούτων ἀφαιρείσθω τι. Περὶ δὲ τούτων ὁ Κύριος Σαδδουκαίους μὲν ἐδυσώπει, λέγων· πλανᾶσθε μὴ εἰδότες τὰς γραφάς· τοῖς δὲ Ἰουδαίοις παρῄνει· ἐρευνᾶτε τὰς γραφάς, ὅτι αὐταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. Ἀλλ' ἕνεκά γε πλείονος ἀκριβείας προστίθημι, καὶ τοῦτο γράφων ἀναγκαίως· ὡς ὅτι ἐστὶν καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, οὐ κανονιζόμενα μὲν τετυπωμένα[2] δὲ παρὰ τῶν πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερχομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον· σοφία Σολομῶνος, καὶ σοφία Σιρὰχ, καὶ Ἐσθὴρ, καὶ Ἰουδὶθ, καὶ Τοβίας, καὶ διδαχὴ καλουμένη τῶν ἀποστόλων, καὶ ὁ ποιμήν. Καὶ ὅμως ἀγαπητοὶ, κἀκείνων κανονιζομένων καὶ τούτων ἀναγινωσκομένων οὐδαμοῦ τῶν ἀποκρύφων μνήμη· ἀλλὰ αἱρετικῶν ἐστιν ἐπίνοια, γραφόντων μὲν ὅτε θέλουσιν αὐτά· χαριζομένων δὲ καὶ προστιθέντων αὐτοῖς χρόνους· ἵν' ὡς παλαιὰ προφέροντες, πρόφασιν ἔχωσιν ἀπατᾶν ἐκ τούτου τοὺς ἀκεραίους.

---

[1] The student will observe with interest the coincidence of Athanasius' list of acknowledged sacred books with our received canon. Indeed, the book of Baruch is here, "and the letter of Jeremiah." If these be not parts of the book by Jeremiah, they are apocryphal writings, but to which, beyond most of the books so called, the church was slow to refuse the claim to be accounted inspired Scripture. Origen, whose list remarkably agrees with that of Athanasius, includes with Jeremiah the same Baruch, and "the Epistle," so called, of that prophet. Jerome decidedly refuses to acknowledge either. He says, in his prologue to Jeremiah's prophecies, "Libellum autem Baruch qui vulgo editioni Septuaginta copulatur, nec habitur apud Hebræos," and he adds, "et ψευδόγραφον epistolam Jeremiæ nequaquam censui disserendam."

Cyril puts Baruch among the canonical books; and it is the only one of the Deutero-canonical named in the catalogue of the Council of Laodicea. The epistle is not so properly a separate writing, as a chapter of Baruch. Jahn considers it a spurious imitation of the letter of the prophet mentioned in chap. 29 of our received "Jeremiah." For other details on Baruch and the Epistle, see Kitto's Bib. Cyclopedia. "Esther," is ranked by Athanasius as it was by some others, among the *antilegomena*: probably on account of the spurious additions in the Sept. The Jews always received it as canonical. One happy coincidence between the catalogues of Origen and Athanasius is, that both acknowledge the Revelation of John, whose omission from some catalogues, though received from the beginning, is satisfactorily explained by Gaussen.

[2] Meaning, stamped with ecclesiastical authority.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ.

ΠΕΡΙ ΤΟΥ ΆΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

Ἔχει γὰρ οὕτως· ἐκήρυσσε φανερῶς ἡ παλαιὰ[1] *τὸν πατέρα, τὸν υἱὸν ἀμυδρότερον. Ἐφανέρωσεν ἡ καινὴ τὸν υἱὸν, ὑπέδειξε τοῦ πνεύματος τὴν θεότητα, ἐμπολιτεύεται νῦν τὸ πνεῦμα, σαφεστέραν ἡμῖν παρέχον τὴν ἑαυτοῦ δήλωσιν. Οὐ γὰρ ἦν ἀσφαλὲς, μήπω τῆς τοῦ πατρὸς θεότητος ὁμολογηθείσης, τὸν υἱὸν ἐκδήλως κηρύττεσθαι· μηδὲ τῆς τοῦ υἱοῦ παραδεχθείσης, τὸ πνεῦμα τὸ ἅγιον, ἵν' εἴπω τί καὶ τολμηρότερον, ἐπιφορτίζεσθαι, μὴ καθάπερ τροφῇ τῇ ὑπὲρ δύναμιν βαρηθέντες, καὶ ἡλιακῷ φωτὶ σαθροτέραν ἔτι προσβαλόντες τὴν ὄψιν, καὶ εἰς τὸ κατὰ δύναμιν κινδυνεύσωσι· Ταῖς δὲ κατὰ μέρος προσθήκαις, καὶ ὡς εἶπε Δαβὶδ, ἀναβάσεσι, καὶ ἐκ δόξης εἰς δόξαν προόδοις, καὶ προκοπαῖς, τὸ τῆς τριάδος φῶς ἐκλάμψῃ τοῖς λαμπροτέροις. Διὰ ταύτην οἶμαι τὴν αἰτίαν, καὶ τοῖς μαθηταῖς κατὰ μέρος ἐπιδημεῖ, τῇ τῶν δεχομένων δυνάμει παραμετρούμενον, ἐν ἀρχῇ τοῦ Εὐαγγελίου, μετὰ τὸ πάθος, μετὰ τὴν ἄνοδον, τὰς δυνάμεις ἐπιτελοῦν ἐκφυσώμενον, ἐν γλώσσαις πυρίναις φαινόμενον, καὶ ὑπὸ Ἰησοῦ κατ' ὀλίγον ἐκφαίνεται, ὡς ἐπιστήσεις καὶ αὐτὸς ἐντυγχάνων ἐπιμελέστερον. Ἐρωτήσω, φησὶ, τὸν πατέρα, καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν, τὸ πνεῦμα τῆς ἀληθείας, ἵνα μὴ ἀντίθεος εἶναι δόξῃ τις, καὶ ὡς ἀπὸ ἄλλης τινὸς ἐξουσίας ποιεῖσθαι τοὺς λόγους. Εἶτα πέμψει μὲν, ἐν δὲ τῷ ὀνόματί μου· τὸ ἐρωτήσω παρεὶς, τὸ πέμψει τετήρηκεν. Εἶτα "πέμψω," τὸ οἰκεῖον ἀξίωμα. Εἶτα ἥξει, ἡ τοῦ πνεύματος ἐξουσία. Ὁρᾷς φωτισμοὺς κατὰ μέρος ἡμῖν ἐλλάμποντας, καὶ τάξιν θεολογίας, ἣν καὶ ἡμᾶς τηρεῖν ἄμεινον, μήτε ἀθρόως ἐκφαίνοντας, μήτε εἰς τέλος κρύπτοντας. Τὸ μὲν γὰρ ἄτεχνον, τὸ δὲ ἄθεον. καὶ τὸ μὲν τοὺς ἀλλοτρίους πλῆξαι δυνάμενον, τὸ δὲ ἀλλοτριῶσαι τοὺς ἡμετέρους. Ὃ δὲ ἴσως μὲν ἦλθεν ἤδη τισὶν ἐπὶ νοῦν καὶ τῶν ἄλλων, ἐγὼ δὲ τῆς ἐμαυτοῦ διανοίας ὑπολαμβάνω καρπὸν, προσθήσω τοῖς εἰρημένοις· ἥν τινα τῷ*

---

[1] He is referring to the Old and New Testaments.

σωτῆρι, καὶ εἰ πολλῶν ἐνεπίμπλαντο μαθημάτων, ἃ μὴ δύνασθαι τότε βασταχθῆναι, τοῖς μαθηταῖς ἐλέγετο, δι' ἃς εἶπον ἴσως αἰτίας, καὶ διὰ τοῦτο παρεκαλύπτετο. Καὶ πάλιν, πάντα διδαχθήσεσθαι ἡμᾶς ὑπὸ τοῦ πνεύματος ἐνδημήσαντος. Τούτων ἓν εἶναι νομίζω, καὶ αὐτὴν τοῦ πνεύματος τὴν θεότητα τρανουμένην εἰς ὕστερον, ὡς τηνικαῦτα ὡρίμου, καὶ χωρητῆς ἤδη τυγχανούσης τῆς γνώσεως, μετὰ τὴν τοῦ σωτῆρος ἀποκατάστασιν, οὐκέτι ἀπιστουμένου τῷ θαύματι. Τί γὰρ ἂν τούτου μεῖζον, ἢ ἐκεῖνος ὑπέσχετο, ἢ τὸ πνεῦμα ἐδίδαξεν; εἴπερ τι μέγα οἴεσθαι χρὴ, καὶ Θεοῦ μεγαλοπρεπείας ἄξιον, τὸ ὑπισχνούμενον, ἢ τὸ διδασκόμενον. Ἔχω μὲν οὕτω περὶ τούτων, καὶ ἔχοιμι. Καὶ ὅς τις ἐμοὶ φίλος, σέβειν Θεὸν τὸν πατέρα, Θεὸν τὸν υἱὸν, Θεὸν τὸ πνεῦμα τὸ ἅγιον, τρεῖς ἰδιότητας, θεότητα μίαν δόξῃ, καὶ τιμῇ, καὶ οὐσίᾳ καὶ βασιλείᾳ μὴ μεριζομένην, ὥς τις τῶν μικρῷ πρόσθεν θεοφόρων ἐφιλοσόφησεν. Ἢ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα, ὥς φησιν ἡ γραφὴ, μηδὲ δόξαν τῆς ἐκεῖθεν λαμπρότητος, ὅς τις οὐχ οὕτως ἔχει ἢ συμφέρεται τοῖς καιροῖς, ἄλλοτε ἄλλος γινόμενος, καὶ περὶ τῶν μεγίστων σαθρῶς βουλευόμενος. Εἰ μὲν γὰρ οὐ προσκυνητὸν, πῶς ἐμὲ θεοῖ διὰ βαπτίσματος, εἰ δὲ προσκυνητὸν, πῶς οὐ σεπτόν; εἰ δὲ σεπτὸν, πῶς οὐ Θεός; ἓν ἤρτηται τοῦ ἑνὸς, ἡ χρυσῆ τις ὄντως σειρὰ καὶ σωτήριος. Καὶ παρὰ μὲν τοῦ πνεύματος ἡμῖν ἡ ἀναγέννησις. Παρὰ δὲ τῆς ἀναγεννήσεως, ἡ ἀνάπλασις· παρὰ δὲ τῆς ἀναπλάσεως, ἡ ἐπίγνωσις τῆς ἀξίας τοῦ ἀναπλάσαντος. Ταῦτα μὲν οὖν εἴποι τὶς ἂν, τὸ ἄγραφον ὑποθέμενος, ἤδη δὲ ἥξει σοι, καὶ ὁ τῶν μαρτυριῶν ἑσμός. Ἐξ ὧν ὅτι καὶ λίαν ἔγγραφος ἡ τοῦ πνεύματος θεότης ἐπιδειχθήσεται, τοῖς μὴ λίαν σκαιοῖς, μηδὲ ἀλλοτρίοις τοῦ πνεύματος. Σκόπει δὲ οὕτως, γεννᾶται Χριστὸς, προτρέχει· βαπτίζεται, μαρτυρεῖ· πειράζεται, ἀνάγει· δυνάμεις ἐπιτελεῖ, συμπαρομαρτεῖ· ἀνέρχεται, διαδέχεται. τί γὰρ οὐ δύναται τῶν μεγάλων, καὶ ὧν θεός; τὶ δαὶ οὐ προσαγορεύεται, ὧν Θεὸς, πλὴν ἀγεννησίας, καὶ γεννήσεως; ἔδει γὰρ τὰς ἰδιότητας μεῖναι πατρὶ, καὶ υἱῷ ἵνα μὴ σύγχυσις ᾖ παρὰ τῇ Θεότητι, τῇ καὶ τἄλλα εἰς τάξιν ἀγούσῃ καὶ ἀκοσμίαν.

Ἐγὼ μὲν φρίττω τὸν πλοῦτον ἐννοῶν τῶν κλήσεων, καὶ καθ' ὅσων ὀνομάτων ἀναισχυντοῦσιν, οἱ τῷ πνεύματι ἀντιπίπτοντες· Πνεῦμα Θεοῦ, λέγεται, πνεῦμα Χριστοῦ, νοῦς

Χριστοῦ, πνεῦμα Κυρίου, αὐτοκύριος· Πνεῦμα υἱοθεσίας, ἀληθείας, ἐλευθερίας. Πνεῦμα σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως, εὐσεβείας, φοβοῦ Θεοῦ. Καὶ γὰρ ποιητικὸν τούτων ἁπάντων, πάντα τῇ οὐσίᾳ πληροῦν, πάντα συνέχον, πληρωτικὸν κόσμου κατὰ τὴν οὐσίαν, ἀχώρητον κόσμῳ κατὰ τὴν δύναμιν, ἀγαθὸν, εὐθὲς, ἡγεμονικὸν, φύσει οὐ θέσει· ἁγιάζον, οὐχ ἁγιαζόμενον. μετροῦν, οὐ μετρούμενον· μετεχόμενον, οὐ μετέχον· πληροῦν, οὐ πληρούμενον· συνέχον, οὐ συνεχόμενον. κληρονομούμενον, δοξαζόμενον, συναριθμούμενον, ἐπαπειλούμενον, δάκτυλος Θεοῦ, πῦρ ὡς Θεὸς, εἰς ἔμφασιν οἶμαι τοῦ ὁμοουσίου. Πνεῦμα τὸ ποιῆσαν, τὸ ἀνακτίζον διὰ βαπτίσματος, δι' ἀναστάσεως. Πνεῦμα τὸ γινῶσκον ἅπαντα, τὸ διδάσκον, τὸ πνέον ὅπου θέλει, καὶ ὅσον, ὁδηγοῦν, λαλοῦν, ἀποστέλλον, ἀφορίζον, παροξυνόμενον, πειραζόμενον, ἀποκαλυπτικὸν, φωτιστικὸν, ζωτικόν. Μᾶλλον δὲ αὐτοφῶς καὶ ζωὴ, ναοποιοῦν, θεοποιοῦν, τελειοῦν, ὥστε καὶ προλαμβάνειν τὸ βάπτισμα, ἐπιζητεῖσθαι μετὰ τὸ βάπτισμα, ἐνεργοῦν ὅσα Θεὸς, μεριζόμενον ἐν γλώσσαις πυρίναις, διαιροῦν χαρίσματα, ποιοῦν Ἀποστόλους, προφήτας, εὐαγγελιστὰς, ποιμένας, καὶ διδασκάλους, νοερὸν, πολυμερὲς, σαφὲς, τρανὸν, ἀμόλυντον, ἀκώλυτον. Ὥπερ ἴσον δύναται, τὸ σοφώτατον καὶ πολύτροπον ταῖς ἐνεργείαις, καὶ σαφηνιστικὸν πάντων, καὶ τρανωτικὸν, καὶ αὐτεξούσιον, καὶ ἀναλλοίωτον, παντοδύναμον, παντεπίσκοπον, διὰ πάντων χωροῦν πνευμάτων, νοερῶν, καθαρῶν, λεπτοτάτων, ἀγγελικῶν, οἶμαι δυνάμεων, ὥσπερ καὶ προφητικῶν, καὶ Ἀποστολικῶν, κατὰ ταυτὸν, καὶ οὐκ ἐν τοῖς αὐτοῖς τόποις, ἄλλων δὲ ἀλλαχοῦ νενεμημένων, ᾧ δηλοῦται τὸ ἀπερίγραπτον. Οἱ ταῦτα λέγοντες καὶ διδάσκοντες, καὶ πρός γε ἄλλον παράκλητον οἷον ἄλλον Θεὸν ὀνομάζοντες, οἱ τὴν εἰς αὐτὸν βλασφημίαν μόνην εἰδότες ἀσυγχώρητον, οἱ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν οὕτω φοβερῶς στηλιτεύσαντες, ἐπειδὴ ἐψεύσαντο τὸ πνεῦμα τὸ ἅγιον, ὡς Θεὸν ψευσαμένους, οὐκ ἄνθρωπον· οὗτοι τί σοι δοκοῦσι, πότερον Θεὸν τὸ πνεῦμα κηρύσσειν ἢ ἄλλο τι; ὡς λίαν ὄντως παχύς τις εἶ καὶ πόῤῥω τοῦ πνεύματος, εἰ τοῦτο ἀπορεῖς, καὶ δέῃ τοῦ διδάξοντος. αἱ μὲν οὖν κλήσεις τοσαῦται, καὶ οὕτως ἔμψυχοι.

Τί γὰρ δεῖ σοι τὰς ἐπὶ τῶν ῥημάτων μαρτυρίας παρατί-

θεσθαι; ὅσα δὲ κἀνταῦθα λέγεται ταπεινότερον, τὸ δίδοσθαι, τὸ ἀποστέλλεσθαι, τὸ μερίζεσθαι, τὸ χάρισμα, τὸ δώρημα, τὸ ἐμφύσημα, ἡ ἐπαγγελία, ἡ ὑπερέντευξις, εἴ τέ τι ἄλλο τοιοῦτον, ἵνα μὴ καθ' ἕκαστον λέγω, ἐπὶ τὴν πρώτην αἰτίαν ἀνενεκτέον, ἵνα τὸ ἐξ οὗ δειχθῇ καὶ μὴ τρεῖς ἀρχαὶ μεμερισμέναι πολυθέως παραδεχθῶσιν· Ἴσον γὰρ εἰς ἀσέβειαν, καὶ Σαβελλίως συνάψαι, καὶ Ἀρειανῶς διαστῆσαι. Τὸ μὲν τῷ προσώπῳ, τὸ δὲ ταῖς φύσεσιν, ὡς ἔγωγε πολλὰ διασκεψάμενος πρὸς ἐμαυτὸν τῇ φιλοπραγμοσύνῃ τοῦ νοῦ, καὶ πανταχόθεν τὸν λόγον εὐθύνας, καὶ ζητῶν εἰκόνα τινὰ τοῦ τοσούτου πράγματος, οὐκ ἔσχον ᾧ τινι χρὴ κάτω τὴν θείαν φύσιν παραβαλεῖν· κἂν γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει με τὸ πλέον, ἀφὲν κάτω μετὰ τοῦ ὑποδείγματος, ὀφθαλμόν τινα καὶ πηγὴν, καὶ ποταμὸν, ἐνενόησα. Καὶ γὰρ καί ἄλλοι, μὴ τῷ μὲν ὁ πατὴρ, τῷ δὲ ὁ υἱὸς, τῷ δὲ τὸ πνεῦμα τὸ ἅγιον ἀναλόγως ἔχῃ· Ταῦτα γὰρ οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέῤῥηκται τῇ συνεχείᾳ. Κἂν δοκεῖ πως τρισὶν ἰδιότησι τέμνεσθαι, ἀλλ' ἔδεισα πρῶτον μὲν ῥύσιν τινὰ θεότητος παραδέξασθαι, στάσιν οὐκ ἔχουσαν. Δεύτερον δὲ μὴ τὸ ἓν τῷ ἀριθμῷ διὰ τῆς εἰκασίας ταύτης εἰσάγηται. Ὀφθαλμὸς γὰρ καὶ πηγὴ, καὶ ποταμὸς, ἕν ἐστιν ἀριθμῷ, διαφόρως σχηματιζόμενα. Πάλιν ἥλιος ἐνεθυμήθην καὶ ἀκτῖνα καὶ φῶς. Ἀλλὰ κἀνταῦθα δέος, πρῶτον μὲν, μὴ σύνθεσίς τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου καὶ τῶν ἐν ἡλίῳ. Δεύτερον δὲ, μὴ τὸν πατέρα μὲν οὐσιώσωμεν, τἆλλα δὲ μὴ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις Θεοῦ ποιήσωμεν ἐνυπαρχούσας, οὐχ ὑφεστώσας. Οὔτε γὰρ ἀκτὶς, οὔτε φῶς, ἄλλος ἥλιος, ἀλλ' ἡλιακαί τινες ἀπόῤῥοιαι καὶ ποιότητες οὐσιώδεις· καὶ ἅμα τὸ εἶναι καὶ τὸ μὴ εἶναι τῷ Θεῷ, δῶμεν ἐν τούτοις, ὅσον ἐκ τοῦ ὑποδείγματος, ὃ καὶ τῶν εἰρημένων ἀτοπώτερον. Ἤκουσα δέ τινος καὶ τοιοῦτον ὑπογράφοντος λόγον, μαρμαρυγήν τινα ἡλιακὴν τοίχῳ προσαστράπτουσαν καὶ περιτρέμουσαν ἐξ ὑδάτων κινήσεως, ἣν ἡ ἀκτὶς ὑπαλαβοῦσα διὰ τοῦ ἐν μέσῳ ἀέρος, εἶτα σχεθεῖσα τῷ ἀντιτύπῳ, παλμὸς ἐγένετο καὶ παράδοξος. Ἅπτει γὰρ πολλαῖς καὶ πυκναῖς ταῖς κινήσεσιν, οὐχ ἓν οὖσα μᾶλλον ἢ πολλά· οὐδὲ πολλὰ μᾶλλον, ἢ ἕν, τῷ τάχει τῆς συνόδου καὶ τῆς διαστάσεως, πρὶν ὄψει κρατηθῆναι δια-

διδράσκουσα. Ἀλλ' οὐδὲ τοῦτο θέσθαι δυνατὸν ἐμοὶ, δί ἓν μὲν, ὅτι τὸν μὲν τὸ κινῆσαν καὶ πάνυ δῆλον, Θεοῦ δὲ οὐδὲν πρεσβύτερον· ἵν' ᾖ τὸ τοῦτον κεκινηκός. Αὐτὸς μὲν γὰρ πάντων αἰτία· αἰτίαν δὲ πρεσβυτέραν οὐκ ἔχει. Δεύτερον δὲ ὅτι κἀνταῦθα τῶν αὐτῶν ὑπόνοια, συνθέσεως, χύσεως, ἀστάτου καὶ οὐ παγίας φύσεως. Ὧν οὐδὲν ἐννοητέον περὶ θεότητος· καὶ ὅλως οὐδέν ἐστιν ὅ μοι τὴν διάνοιαν ἵστησιν ἐπὶ τῶν ὑποδειγμάτων θεωροῦντι τὸ φανταζόμενον, πλὴν εἴ τις ἕν τι λαβὼν τῆς εἰκόνος, ὑπ' εὐγνωμοσύνης, τὰ λοιπὰ ῥίψειεν. Τέλος οὖν ἔδοξέ μοι κράτιστον εἶναι, τὰς μὲν εἰκόνας χαίρειν ἐᾶσαι καὶ τὰς σκιὰς, ὡς ἀπατηλὰς, καὶ τῆς ἀληθείας πλεῖστον ἀποδεούσας, αὐτὸν δὲ τῆς εὐσεβεστέρας ἐννοίας ἐχόμενον, ἐπ' ὀλίγων ῥημάτων ἱστάμενον, ὁδηγῷ τῷ πνεύματι χρώμενον, ἣν ἐντεῦθεν ἔλλαμψιν ἐδεξάμην, ταύτην εἰς τέλος διαφυλάσσοντα, ὡς γνησίαν κοινωνὸν καὶ συνόμιλον, τὸν αἰῶνα τοῦτον διαπορεύεσθαι διατέμνοντα, καὶ τοὺς ἄλλους πείθειν εἰς δύναμιν, προσκυνεῖν πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, τὴν μίαν θεότητά τε καὶ δύναμιν. Ὅτι αὐτῷ πᾶσα δόξα, τιμὴ, κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

XI. JOHN, CHRYSOSTOM.

This was, of all the fathers, the greatest orator. He was acknowledged as indeed the golden mouthed, or *χρυσοῤῥήμων* the golden speaker. Subsequent writers exhaust language in their tributes to his eloquence. Suidas likened the copious flow of his words to the cataracts of the Nile.

Chrysostom shines as a commentator also. Theologians of all times have drawn largely on his expositions of Scripture. Daillé and Isaac Taylor have noted expressions on repentance or good works, not quite reconcilable with evangelic truth. Too much sometimes there is of favour for monasticism and virginity; and on the sacraments, what is extravagant. These last passages have been claimed by advocates of transubstantiation, but apologised for as figurative by protestant writers. He doubtless gloried in the cross of Christ, and loved his Master. He was faithful to his cause as a public reprover of sins in Christians, or negligence in those who serve the altar. We present some of his views on the responsibility of the sacred office; and some impressive touches—in his Attic style—on the character of St. Paul.

Chrysostom ministered first at Antioch, his native place; afterwards was Bishop of Constantinople. Like Athanasius, he encountered the envy of false brethren, and the tyranny of imperial power;—exiled for a time, but recalled. He died in 407.

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ.

ΛΟΓΟΣ Β′.

* * * * Καὶ τί τούτου τοῦ κέρδους, ἔφην, ἂν γένοιτο μεῖζον, ἢ τὸ ταῦτα φαίνεσθαι πράττοντας, ἅπερ δείγματα τῆς εἰς τὸν Χριστὸν ἀγάπης, αὐτὸς ἔφησεν εἶναι ὁ Χριστὸς; Πρὸς γὰρ τὸν κορυφαῖον τῶν ἀποστόλων διαλεγόμενος· Πέτρε, φησὶν, φιλεῖς με; τούτου δὲ ὁμολογήσαντος, ἐπιλέγει· εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου· Ἐρωτᾷ τὸν μαθητὴν ὁ διδάσκαλος, εἰ φιλοῖτο παρ᾽ αὐτοῦ, οὐχ ἵνα αὐτὸς μάθῃ· πῶς γὰρ, ὁ τὰς ἁπάντων ἐμβατεύων καρδίας; ἀλλ᾽ ἵνα ἡμᾶς διδάξῃ, ὅσον αὐτῷ μέλει τῆς τῶν ποιμνίων ἐπιστασίας τούτων· Τούτου δὲ ὄντος δήλου, κἀκεῖνο ὁμοίως ἔσται φανερὸν, ὅτι πολὺς καὶ ἄφατος ἀποκείσεται μισθὸς τῷ περὶ ταῦτα πονουμένῳ, ἃ πολλοῦ τιμᾶται ὁ Χριστός. Εἰ γὰρ ἡμεῖς, ὅτ᾽ ἂν ἴδωμεν τῶν οἰκετῶν ἢ τῶν οἰκείων, τῶν θρεμμάτων τῶν ἡμετέρων ἐπιμελουμένους, τινὰς, τῆς περὶ ἡμᾶς ἀγάπης τὴν εἰς ἐκεῖνα σπουδὴν τιθέμεθα σημεῖον, καίτοι γε ταῦτα πάντα χρημάτων ἐστὶν ὠνητά· ὁ μὴ χρημάτων, μηδὲ ἄλλου τινὸς τοιούτου, ἀλλ᾽ ἰδίῳ θανάτῳ τὸ ποίμνιον πριάμενος τοῦτο, καὶ τιμὴν τῆς ἀγέλης τὸ αἷμα δοὺς τὸ ἑαυτοῦ, πόσῃ τοὺς ποιμαίνοντας αὐτὸ ἀμείψεται δωρεᾷ; διά τοι τοῦτο εἰπόντος τοῦ μαθητοῦ, "σὺ οἶδας Κύριε, ὅτι φιλῶ σε," καὶ μάρτυρα τῆς ἀγάπης αὐτὸν τὸν ἀγαπώμενον καλέσαντος, οὐκ ἔστη μέχρι τούτου ὁ Σωτὴρ, ἀλλὰ καὶ τὸ τῆς ἀγάπης προσέθηκε σημεῖον. Οὐ γὰρ ὅσον ὁ Πέτρος αὐτὸν ἐφίλει, τότε ἐπιδεῖξαι ἐβούλετο (καὶ

[1] This discourse has the form of a dialogue between Chrysostom and Basil. They had been early associates, and admirers of one another. It is said that Chrysostom, himself shrinking from undertaking the Pastorate, procured by a sort of stratagem, that holy hands should be laid on Basil. Chrysostom incurred suspicion or reproach. He is in this dialogue apologising for himself, and shows his estimate of the greatness of the work of a Priest. The identifying of the ministry with the priesthood was an idea that early sprung up, probably naturally and innocently—suggested by scripture language: superstition soon abused it.

γὰρ ἐκ πολλῶν τοῦτο ἤδη ἡμῖν γέγονε δῆλον·) ἀλλ' ὅσον αὐτὸς τὴν ἐκκλησίαν ἀγαπᾷ τὴν ἑαυτοῦ, καὶ Πέτρον καὶ πάντας ἡμᾶς μαθεῖν ἠθέλησεν, ἵνα καὶ ἡμεῖς πολλὴν περὶ αὐτὰ εἰσφέρωμεν τὴν σπουδήν. Διὰ τί γὰρ υἱοῦ καὶ μονογενοῦς οὐκ ἐφείσατο ὁ Θεὸς, ἀλλ' ὃν μόνον εἶχεν, ἐξέδωκεν; ἵνα τοὺς ἐχθρωδῶς πρὸς αὐτὸν διακειμένους ἑαυτῷ καταλλάξῃ καὶ ποιήσῃ λαὸν περιούσιον. διὰ τί καὶ τὸ αἷμα ἐξέχεεν; ἵνα τὰ πρόβατα κτήσηται ταῦτα, ἃ τῷ Πέτρῳ καὶ τοῖς μετ' ἐκεῖνον ἐνεχείρισεν.[1] *Εἰκότως ἄρα ἔλεγεν ὁ Χριστός· Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τὴν οἰκίαν αὐτοῦ; πάλιν τὰ μὲν ῥήματα ἀποροῦντος, ὁ δὲ φθεγγόμενος αὐτὰ οὐκ ἀπορῶν ἐφθέγγετο. ἀλλ' ὥσπερ τὸν Πέτρον ἐρωτῶν, εἰ φιλοῖτο, οὐ μαθεῖν δεόμενος τοῦ μαθητοῦ τὸν πόθον ἠρώτα, ἀλλὰ δεῖξαι βουλόμενος τῆς οἰκείας ἀγάπης τὴν ὑπερβολήν· οὕτω καὶ νῦν λέγων· Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; οὐ τὸν πιστὸν καὶ φρόνιμον ἀγνοῶν ἔλεγεν, ἀλλὰ παραστῆσαι θέλων τὸ τοῦ πράγματος σπάνιον, καὶ τῆς ἀρχῆς ταύτης τὸ μέγεθος. Ὅρα γοῦν καὶ τὸ ἔπαθλον ὅσον· ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἔτι οὖν ἀμφισβητήσεις ἡμῖν τοῦ μὴ καλῶς ἠπατῆσθαι, πᾶσι μέλλων ἐπιστήσεσθαι τοῦ Θεοῦ τοῖς ὑπάρχουσι, καὶ ταῦτα πράττων, ἃ καὶ τὸν Πέτρον ποιοῦντα ἔφησε*[2] *δυνήσεσθαι καὶ τῶν ἀποστόλων ὑπερακοντίσαι τοὺς λοιπούς. Πέτρε γάρ, φησι, φιλεῖς με πλεῖον τούτων; καίτοι γ' ἐνῆν εἰπεῖν πρὸς αὐτὸν, εἰ φιλεῖς με, νηστείαν ἄσκει, χαμευνίαν,*[3] *ἀγρυπνίας συντόνους, προΐστασο τῶν ἀδικουμένων, γίνου ὀρφανοῖς ὡς πατὴρ, καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν. νῦν δὲ πάντα ταῦτα ἀφεὶς, τί φησι; "ποίμαινε τὰ πρόβατά μου."*

II. *Ἐκεῖνα μὲν γὰρ, ἃ προεῖπον, καὶ τῶν ἀρχομένων*

---

[1] *Τῷ Πέτρῳ καὶ τοῖς μετ' ἐκεῖνον.* It is in vain that Romanists lay hold of this expression. "The successors of Peter," as the context shows, a few lines before, (*καὶ Πέτ. καὶ πάντας ἡμᾶς*) include his successors in all times and places, pastors of all Christ's sheep, and thus Basil himself. St. Ambrose on that passage says, "Claves illas quas in beato Petro Apostolo cuncti suscepimus sacerdotes." So Junius refutes Bellarmines' argument from this dialogue.—A. E. Leo's *Chrysostom.*

[2] Some write it *ἐφῆκε.*

[3] *χαμευνίαν,* prostrating on the ground.

πολλοὶ δύναιντ' ἂν ἐπιτελεῖν ῥᾳδίως, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες· ὅταν δὲ ἐκκλησίας προστῆναι δέῃ, καὶ ψυχῶν ἐπιμέλειαν πιστευθῆναι τοσούτων, πᾶσα μὲν ἡ γυναικεία φύσις παραχωρείτω τῷ μεγέθει τοῦ πράγματος, καὶ ἀνδρῶν δὲ τὸ πλέον· ἀγέσθωσαν δὲ εἰς μέσον οἱ πολλῷ τῷ μέτρῳ πλεονεκτοῦντες ἁπάντων, καὶ τοσοῦτον ὑψηλότεροι τῶν ἄλλων κατὰ τὴν τῆς ψυχῆς ὄντες ἀρετὴν, ὅσον τοῦ παντὸς ἔθνους Ἑβραίων κατὰ τὸ τοῦ σώματος μέγεθος ὁ Σαοὺλ, μᾶλλον δὲ καὶ πολλῷ πλέον. Μὴ γάρ μοι μόνον ὑπερωμίας ἐνταῦθα ζητείσθω μέτρον, ἀλλ' ὅση πρὸς τὰ ἄλογα τῶν λογικῶν ἀνθρώπων ἡ διαφορὰ, τοσοῦτον τοῦ ποιμένος καὶ τῶν ποιμαινομένων ἔστω τὸ μέσον, ἵνα μὴ καὶ πλέον τι εἴπω· καὶ γὰρ περὶ πολλῷ μειζόνων ὁ κίνδυνος. Ὁ μὲν γὰρ πρόβατα ἀπολλὺς, ἢ λύκων ἁρπασάντων, ἢ λῃστῶν ἐπιστάντων, ἢ λοιμοῦ τινος, ἢ καὶ ἄλλου συμπτώματος ἐπιπεσόντος, τύχοι μὲν ἄν τινος καὶ συγγνώμης παρὰ τοῦ κυρίου τῆς ποίμνης· εἰ δὲ καὶ δίκην ἀπαιτοῖτο, μέχρι τῶν χρημάτων ἡ ζημία. ὁ δὲ ἀνθρώπους πιστευθεὶς, τὸ λογικὸν τοῦ Χριστου ποίμνιον, πρῶτον μὲν οὐκ εἰς χρήματα, ἀλλ' εἰς τὴν ἑαυτοῦ ψυχὴν τὴν ζημίαν ὑφίσταται, ὑπὲρ τῆς τῶν προβάτων ἀπωλείας. Ἔπειτα καὶ τὸν ἀγῶνα πολλῷ μείζονα καὶ χαλεπώτερον ἔχει. οὐ γὰρ αὐτῷ πρὸς λύκους ἡ μάχη, οὐδὲ ὑπὲρ λῃστῶν δέδοικεν, οὐδὲ ἵνα λοιμὸν ἀπελάσῃ τῆς ποίμνης φροντίζει· ἀλλὰ πρὸς τίνας ὁ πόλεμος; μετὰ τίνων ἡ μάχη; Ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος. οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἐν τοῖς ἐπουρανίοις. Εἶδες πολεμίων πλῆθος δεινὸν, καὶ φάλαγγας ἀγρίας, οὐ σιδήρῳ πεφραγμένας, ἀλλ' ἀντὶ πάσης πανοπλίας ἀρκουμένας τῇ φύσει; Βούλει καὶ ἕτερον στρατόπεδον ἰδεῖν ἀπηνὲς καὶ ὠμὸν, ταύτῃ προσεδρεῦον τῇ ποίμνῃ; καὶ τοῦτο ἀπὸ τῆς αὐτῆς ὄψει περιωπῆς. ὁ γὰρ περὶ ἐκείνων διαλεχθεὶς, οὗτος καὶ τούτους ἡμῖν ὑποδεικνύει τοὺς ἐχθροὺς, ὧδέ πως λέγων· Φανερὰ δέ ἐστι τὰ τῆς σαρκὸς ἔργα, ἅτινά ἐστι, πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, καταλαλιαὶ, ψιθυρισμοὶ,

φυσιώσεις, ἀκαταστασίαι, καὶ ἕτερα τούτων πλείονα. οὐ γὰρ πάντα κατέλεξεν, ἀλλ' ἐκ τούτων ἀφῆκεν εἰδέναι καὶ τὰ λοιπά. Καὶ ἐπὶ μὲν τοῦ ποιμένος τῶν ἀλόγων, οἱ βουλόμενοι διαφθεῖραι τὴν ἀγέλην, ὅταν ἴδωσι τὸν ἐφεστῶτα φεύγοντα, τὴν πρὸς ἐκεῖνον μάχην ἀφέντες ἀρκοῦνται τῇ τῶν θρεμμάτων ἁρπαγῇ· ἐνταῦθα δὲ, κἂν ἅπασαν λάβωσι τὴν ποίμνην, οὐδ' οὕτω τοῦ ποιμαίνοντος ἀφίστανται, ἀλλὰ μᾶλλον ἐφεστήκασι, καὶ πλέον θρασύνονται, καὶ οὐ πρότερον παύονται, ἕως ἂν ἢ καταβάλωσιν ἐκεῖνον, ἢ νικηθῶσιν αὐτοί. Πρὸς δὲ τούτοις, τὰ μὲν τῶν θρεμμάτων νοσήματα καθέστηκε φανερὰ, κἂν λιμὸς ᾖ, κἂν λοιμὸς, κἂν τραῦμα, κἂν ὅτι δηποτοῦν ἕτερον ᾖ τὸ λυποῦν· οὐ μικρὸν δὲ τοῦτο δύναιτ' ἂν πρὸς τὴν τῶν ἐνοχλούντων ἀπαλλαγήν. Ἔνι δέ τι καὶ ἕτερον τούτου μεῖζον, τὸ ποιοῦν ταχεῖαν τῆς ἀῤῥωστίας ἐκείνης τὴν λύσιν. τί δὲ τοῦτό ἐστι; μετὰ πολλῆς τῆς ἐξουσίας καταναγκάζουσι τὰ πρόβατα οἱ ποιμένες δέχεσθαι τὴν ἰατρείαν, ὅτ' ἂν ἑκόντα μὴ ὑπομένῃ. καὶ γὰρ δῆσαι εὔκολον, ὅτ' ἂν καῦσαι δέῃ καὶ τεμεῖν· καὶ φυλάξαι ἔνδον ἐπὶ χρόνον πολὺν, ἡνίκα ἂν τοῦτο συμφέρῃ· καὶ ἑτέραν δὲ ἀνθ' ἑτέρας προσαγαγεῖν τροφὴν, καὶ ἀποκωλῦσαι ναμάτων· καὶ τὰ ἄλλα δὲ πάντα, ὅσα περ ἂν δοκιμάσωσι πρὸς τὴν ἐκείνων ὑγίειαν συμβαλλέσθαι, μετὰ πολλῆς προσάγουσι τῆς εὐκολίας. Τὰς δὲ τῶν ἀνθρώπων ἀῤῥωστίας, πρῶτον μὲν οὐκ ἔστιν ἀνθρώπῳ ῥᾴδιον ἰδεῖν· οὐδεὶς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ.

III. Πῶς οὖν τις προσαγάγοι τῆς νόσου τὸ φάρμακον, ἧς τὸν τρόπον οὐκ οἶδε, πολλάκις δὲ μηδὲ εἰ τυγχάνοι νοσῶν δυνάμενος συνιδεῖν; Ἐπειδὰν δὲ καὶ καταφανὴς γένηται, τότε πλείον' αὐτῷ παρέχει τὴν δυσχέρειαν. Οὐ γὰρ ἔστι μετὰ τοσαύτης ἐξουσίας ἅπαντας θεραπεύειν ἀνθρώπους, μεθ' ὅσης τὸ πρόβατον ὁ ποιμήν. ἔστι μὲν γὰρ καὶ ἐνταῦθα καὶ δῆσαι, καὶ τροφῆς ἀπεῖρξαι, καὶ καῦσαι, καὶ τεμεῖν· ἀλλ' ἡ ἐξουσία τοῦ δέξασθαι τὴν ἰατρείαν, οὐκ ἐν τῷ προσάγοντι τὸ φάρμακον, ἀλλ' ἢ ἐν τῷ κάμνοντι κεῖται. τοῦτο γὰρ καὶ ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ συνειδὼς Κορινθίοις ἔλεγεν· Οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν. Μάλιστα μὲν γὰρ ἁπάντων Χριστιανοῖς οὐκ

ἐφεῖται πρὸς βίαν ἐπανορθοῦν τὰ τῶν ἁμαρτανόντων πταίσματα. Ἀλλ' οἱ μὲν ἔξωθεν δικασταὶ τοὺς κακούργους ὅταν ὑπὸ τοῖς νόμοις λάβωσι, πολλὴν ἐπιδείκνυνται τὴν ἐξουσίαν, καὶ ἄκοντας τοῖς τρόποις κωλύουσι χρῆσθαι τοῖς αὐτῶν· ἐνταῦθα δὲ οὐ βιαζόμενον, ἀλλὰ πείθοντα δεῖ ποιεῖν ἀμείνω τὸν τοιοῦτον. Οὔτε γὰρ ἡμῖν ἐξουσία τοσαύτη παρὰ τῶν νόμων δέδοται πρὸς τὸ κωλύειν τοὺς ἁμαρτάνοντας· οὔτε, εἰ καὶ ἔδωκαν, εἴχομεν ὅποι καὶ χρησώμεθα τῇ δυνάμει· οὐ τοὺς ἀνάγκῃ τῆς κακίας, ἀλλὰ τοὺς προαιρέσει ταύτης ἀπεχομένους στεφανοῦντος τοῦ Θεοῦ. Διὰ τοῦτο πολλῆς χρεία τῆς μηχανῆς, ἵνα πεισθῶσιν ἑκόντες ἑαυτοὺς ὑπέχειν ταῖς παρὰ τῶν ἱερέων θεραπείαις οἱ κάμνοντες· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ χάριν εἰδῶσι τῆς ἰατρείας αὐτοῖς. Ἄν τε γάρ τις σκιρτήσῃ δεθεὶς (κύριος γάρ ἐστι τούτου,) χεῖρον εἰργάσατο τὸ δεινόν· ἄν τε τοὺς σιδήρου τέμνοντας δίκην παραπέμψηται λόγους, προσέθηκε διὰ τῆς καταφρονήσεως τραῦμα ἕτερον, καὶ γέγονεν ἡ τῆς θεραπείας πρόφασις νόσου χαλεπωτέρας ὑπόθεσις. Ὁ γὰρ καταναγκάζων καὶ ἄκοντα θεραπεῦσαι δυνάμενος οὐκ ἔστι.

IV. *Τί οὖν ἄν τις ποιήσειε; καὶ γὰρ ἐὰν πραότερον προσενεχθῇς τῷ πολλῆς ἀποτομίας δεομένῳ, καὶ μὴ δῷς βαθεῖαν τὴν τομὴν τῷ τοιαύτης χρείαν ἔχοντι· τὸ μὲν περιέκοψας, τὸ δὲ ἀφῆκας τοῦ τραύματος. κἂν ἀφειδῶς τὴν ὀφειλομένην ἐπαγάγῃς τομὴν, πολλάκις ἀπογνοὺς πρὸς τὰς ἀλγηδόνας ἐκεῖνος, ἀθρόως πάντα ἀποῤῥίψας, καὶ τὸ φάρμακον καὶ τὸν ἐπίδεσμον, φέρων ἑαυτὸν κατεκρήμνισε, συντρίψας τὸν ζυγὸν, καὶ διαῤῥήξας τὸν δεσμόν. καὶ πολλοὺς ἂν ἔχοιμι λέγειν, τοὺς εἰς ἔσχατα ἐξοκείλαντας κακὰ, διὰ τὸ δίκην ἀπαιτηθῆναὶ τῶν ἁμαρτημάτων ἀξίαν. Οὐ γὰρ ἁπλῶς πρὸς τὸ τῶν παραπτωμάτων μέτρον δεῖ καὶ τὴν ἐπιτιμίαν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως· μή ποτε ῥάψαι τὸ διεῤῥωγὸς βουλόμενος, χεῖρον τὸ σχίσμα ποιήσῃς, καὶ ἀνορθῶσαι τὸ καταπεπτωκὸς σπουδάζων, μείζονα ἐργάσῃ τὴν πτῶσιν. Οἱ γὰρ ἀσθενεῖς καὶ διακεχυμένοι, καὶ τὸ πλέον τῇ τοῦ κόσμου προσδεδεμένοι τρυφῇ, ἔτι δὲ καὶ ἐπὶ γένει καὶ δυναστείᾳ μέγα φρονεῖν ἔχοντες, ἠρέμα μὲν καὶ κατὰ μικρὸν, ἐν οἷς ἂν ἁμαρτάνωσιν, ἐπιστρεφόμενοι, δύναιντ' ἂν,*

εἰ καὶ μὴ τέλεον, ἀλλὰ γοῦν ἐκ μέρους τῶν κατεχόντων αὐτοὺς ἀπαλλαγῆναι κακῶν· ἂν δὲ ἀθρόον τὶς ἐπαγάγῃ τὴν παίδευσιν, καὶ τῆς ἐλάττονος αὐτοὺς ἀπεστέρησε διορθώσεως. Ψυχὴ γὰρ ἐπειδὰν ἅπαξ ἀπερυθριᾶσαι βιασθῇ, εἰς ἀναλγησίαν ἐκπίπτει, καὶ οὔτε προσηνέσιν εἴκει λόγοις λοιπὸν, οὔτε ἀπειλαῖς κάμπτεται, οὔτε εὐεργεσίαις προτρέπεται, ἀλλὰ γίνεται πολὺ χείρων τῆς πόλεως ἐκείνης, ἣν ὁ προφήτης κακίζων ἔλεγεν· Ὄψις πόρνης[1] ἐγένετο σοι, ἀπηναισχύντησας πρὸς πάντας. Διὰ τοῦτο πολλῆς δεῖ τῆς συνέσεως τῷ ποιμένι καὶ μυρίων ὀφθαλμῶν, πρὸς τὸ περισκοπεῖν πάντοθεν τὴν τῆς ψυχῆς ἕξιν. Ὥσπερ γὰρ εἰς ἀπόνοιαν αἴρονται πολλοὶ, καὶ εἰς ἀπόγνωσιν τῆς ἑαυτῶν καταπίπτουσι σωτηρίας, ἀπὸ τοῦ μὴ δυνηθῆναι πικρῶν ἀνασχέσθαι φαρμάκων· οὕτως εἰσί τινες, οἳ διὰ τὸ μὴ δοῦναι τιμωρίαν τῶν ἁμαρτημάτων ἀντίῤῥοπον, εἰς ὀλιγωρίαν ἐκτρέπονται, καὶ πολλῷ γίνονται χείρους, καὶ πρὸς τὸ μείζονα ἁμαρτάνειν προάγονται. Χρὴ τοίνυν μηδὲν τούτων ἀνεξέταστον ἀφεῖναι, ἀλλὰ πάντα διερευνησάμενον ἀκριβῶς καταλλήλως τὰ παρ' ἑαυτοῦ προσάγειν τὸν ἱερωμένον, ἵνα μὴ μάταιος αὐτῷ γίνηται ἡ σπουδή. Οὐκ ἐν τούτῳ δὲ μόνον, ἀλλὰ καὶ ἐν τῷ τὰ ἀπεῤῥηγμένα τῆς ἐκκλησίας μέλη συνάπτειν, πολλὰ ἴδοι τις ἂν αὐτὸν ἔχοντα πράγματα. Ὁ μὲν γὰρ τῶν προβάτων ποιμὴν ἔχει τὸ ποίμνιον ἑπόμενον, ᾗπερ ἂν ἡγῆται· εἰ δὲ καὶ ἐκτρέποιτό τινα τῆς εὐθείας ὁδοῦ, καὶ τὴν ἀγαθὴν ἀφιέντα νομὴν, λεπτόγεα καὶ ἀπόκρημνα βόσκοιτο χωρία, ἀρκεῖ βοήσαντα σφοδρότερον συνελάσαι πάλιν, καὶ εἰς τὴν ποίμνην ἐπαναγαγεῖν τὸ χωρισθέν· εἰ δὲ ἄνθρωπος τῆς εὐθείας ἀποπλανηθείη πίστεως, πολλῆς δεῖ τῷ ποιμένι τῆς πραγματείας, τῆς καρτερίας, τῆς ὑπομονῆς. Οὐ γὰρ ἑλκῦσαι πρὸς βίαν ἐστὶν, οὐδὲ ἀναγκάσαι φόβῳ· πείσαντα δὲ δεῖ πάλιν πρὸς τὴν ἀλήθειαν ἀγαγεῖν, ὅθεν ἐξέπεσε τὴν ἀρχήν. Γενναίας οὖν δεῖ ψυχῆς, ἵνα μὴ περικακῇ, ἵνα μὴ ἀπογινώσκῃ τὴν τῶν πεπλανημένων σωτηρίαν, ἵνα συνεχῶς ἐκεῖνο καὶ λογίζηται καὶ λέγῃ· μήποτε δῷ αὐτοῖς ὁ Θεὸς ἐπίγνωσιν ἀληθείας, καὶ ἀπαλλαγῶσι τῆς τοῦ διαβόλου παγίδος. Διὰ ταῦτα τοῖς μαθηταῖς ὁ Κύριος διαλεγόμενος

[1] Jeremiah, iii., 3.

ἔφη· Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; Ὁ γὲν γὰρ ἑαυτὸν ἀσκῶν, εἰς ἑαυτὸν μόνον περιίστησι τὴν ὠφέλειαν· τὸ δὲ τῆς ποιμαντικῆς κέρδος, εἰς ἅπαντα διαβαίνει τὸν λαόν. καὶ ὁ μὲν χρήματα διανέμων τοῖς δεομένοις, ἢ καὶ ἑτέρως πως ἀδικουμένοις ἀμύνων, ὤνησε μέν τι καὶ οὗτος τοὺς πλησίον, τοσούτῳ δὲ ἔλαττον τοῦ ἱερέως, ὅσον τὸ μέσον σώματος πρὸς ψυχήν. Εἰκότως ἄρα τῆς εἰς αὐτὸν ἀγάπης τὴν περὶ τὰ ποίμνια σπουδὴν ὁ Κύριος ἔφησεν εἶναι σημεῖον.

ΛΟΓΟΣ Δ′

VI. * * * Τί οὖν ὁ Παῦλος, φησὶν, οὐκ ἐσπούδασε ταύτην οἱ κατορθωθῆναι τὴν ἀρετήν; οὐδὲ ἐγκαλύπτεται ἐπὶ τῇ τοῦ λόγου πενίᾳ, ἀλλὰ καὶ διαῤῥήδην ὁμολογεῖ, ἰδιώτην ἑαυτὸν εἶναι· καὶ ταῦτα Κορινθίοις ἐπιστέλλων, τοῖς ἀπὸ τοῦ λέγειν θαυμαζομένοις, καὶ μέγα ἐπὶ τούτῳ φρονοῦσι.

ΧΡ. Τοῦτο γὰρ, ἔφην, τοῦτό ἐστιν, ὃ τοὺς πολλοὺς ἀπώλεσε, καὶ ῥαθυμοτέρους πρὸς τὴν ἀληθῆ διδασκαλίαν ἐποίησε. Μὴ γὰρ δυνηθέντες ἀκριβῶς ἐξετάσαι τῶν ἀποστολικῶν φρενῶν τὸ βάθος, μηδὲ συνεῖναι τὴν τῶν ῥημάτων διάνοιαν, διετέλεσαν τὸν ἅπαντα χρόνον νυστάζοντες καὶ χασμώμενοι, καὶ τὴν ἀμαθίαν τιμῶντες ταύτην, οὐχ ἣν ὁ Παῦλός φησιν εἶναι ἀμαθὴς, ἀλλ᾽ ἧς τοσοῦτον ἀπεῖχεν, ὅσον οὐδὲ ἄλλος τις τῶν ὑπὸ τὸν οὐρανὸν τοῦτον ἀνθρώπων. Ἀλλ᾽ οὗτος μὲν ἡμᾶς εἰς καιρὸν ὁ λόγος μενέτω· τέως δὲ ἐκεῖνό φημι· θῶμεν αὐτὸν εἶναι ἰδιώτην τοῦτο τὸ μέρος, ὅπερ οὗτοι βούλονται, τί οὖν τοῦτο πρὸς τοὺς ἄνδρας τοὺς νῦν; Ἐκεῖνος μὲν γὰρ εἶχεν ἰσχὺν πολλῷ τοῦ λόγου μείζονα καὶ πλείονα δυναμένην κατορθοῦν, φαινόμενος γὰρ μόνον, καὶ σιγῶν, τοῖς δαίμοσιν ἦν φοβερός· οἱ δὲ νῦν πάντες ὁμοῦ συνελθόντες μετὰ μυρίων εὐχῶν καὶ δακρύων οὐκ ἂν δυνηθεῖεν, ὅσα ἴσχυσε τὰ σιμικίνθια[1]

---

[1] Another reading from MSS. is *μέχρι τούτου.*

[2] *σιμικίνθια*—A word of Latin origin, (semicinctium=praecinctorium,) a linen apron or half girdle—used for wiping off sweat or tears. The word occurs in Acts xix., 12, with *σουδάρια*—"handkerchiefs or aprons."

Παύλου ποτέ. Καὶ Παῦλος μὲν εὐχόμενος νεκροὺς ἀνίστη, καὶ ἄλλα ἐθαυματούργει τοιαῦτα, ὡς καὶ θεὸς νομισθῆναι παρὰ τοῖς ἔξωθεν· καὶ πρὶν ἢ τοῦ βίου μεταστῆναι τούτου, κατηξιώθη ἁρπαγῆναι ἕως τρίτου οὐρανοῦ, καὶ ῥημάτων μετασχεῖν, ὧν οὐ θέμις ἀνθρωπείαν ἀκοῦσαι φύσιν. Οἱ δὲ νῦν ὄντες. (ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν οὐδὲ βαρύ· καὶ γὰρ καὶ ταῦτα οὐκ ἐπεμβαίνων αὐτοῖς λέγω νῦν, ἀλλὰ θαυμάζων,) πῶς οὐ φρίττουσιν ἀνδρὶ τηλικούτῳ παραβάλλοντες ἑαυτούς; Εἰ γὰρ καὶ τὰ θαύματα ἀφέντες, ἐπὶ τὸν βίον ἔλθοιμεν τοῦ μακαρίου, καὶ τὴν πολιτείαν ἐξετάσαιμεν αὐτοῦ τὴν ἀγγελικὴν, καὶ ἐν ταύτῃ μᾶλλον, ἢ ἐν τοῖς σημείοις, ὄψει νικῶντα τὸν ἀθλητὴν τοῦ Χριστοῦ. τί γὰρ ἄν τις εἴποι τὸν ζῆλον, τὴν ἐπιείκειαν, τοὺς συνεχεῖς κινδύνους, τὰς ἐπαλλήλους φροντίδας, τὰς ἀδιαλείπτους ὑπὲρ τῶν ἐκκλησιῶν ἀθυμίας, τὸ πρὸς τοὺς ἀσθενεῖς συμπαθὲς, τὰς πολλὰς θλίψεις, τοὺς καινοτέρους διωγμοὺς, τοὺς καθημερινοὺς θανάτους; Τίς γὰρ τόπος τῆς οἰκουμένης, ποία ἤπειρος, ποία θάλαττα τοῦ δικαίου τούτου τοὺς ἄθλους ἠγνόησεν; ἐκεῖνον καὶ ἡ ἀοίκητος ἔγνω, κινδυνεύοντα δεξαμένη πολλάκις. πᾶν γὰρ εἶδος ὑπέμεινεν ἐπιβουλῆς, καὶ πάντα τρόπον ἐπῆλθε νίκης. καὶ οὔτε ἀγωνιζόμενος, οὔτε στεφανούμενος διέλιπέ ποτε. Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς προήχθην ὑβρίζειν τὸν ἄνδρα. τὰ γὰρ κατορθώματα αὐτοῦ, πάντα μὲν ὑπερβαίνει λόγον· τὸν δὲ ἡμέτερον, τοσοῦτον, ὅσον καὶ ἡμᾶς οἱ λέγειν εἰδότες. Πλὴν ἀλλὰ καὶ οὕτως (οὐδὲ γὰρ ἀπὸ τῆς ἐκβάσεως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως ἡμᾶς ὁ μακάριος κρινεῖ) οὐκ ἀποστήσομαι, ἕως ἂν εἴπω τοῦτο, ὃ τοσοῦτο τῶν εἰρημένων κρεῖττόν ἐστιν, ὅσον ἁπάντων ἀνθρώπων ἐκεῖνος. τί οὖν τοῦτό ἐστιν; μετὰ τοσαῦτα κατορθώματα, μετὰ τοὺς μυρίους στεφάνους, ηὔξατο εἰς γέενναν ἀπελθεῖν, καὶ αἰωνίῳ παραδοθῆναι κολάσει, ὑπὲρ τοῦ τοὺς πολλάκις αὐτὸν καὶ λιθάσαντας, καὶ ἀνελόντας, τό γε αὐτῶν μέρος, Ἰουδαίους σωθῆναι καὶ τῷ Χριστῷ προσελθεῖν. Τίς οὕτως ἐπόθησε τὸν Χριστὸν; εἴγε πόθον αὐτὸν δεῖ καλεῖν, ἀλλ' οὐχ ἕτερόν τι τοῦ πόθου πλέον. Ἔτ' οὖν ἑαυτοὺς ἐκείνῳ παραβαλοῦμεν, μετὰ τὴν τοσαύτην χάριν, ἣν ἔλαβεν ἄνωθεν; μετὰ τὴν τοσαύτην ἀρετὴν, ἣν οἴκοθεν ἐπεδείξατο; καὶ τί τούτου γένοιτ' ἂν

τολμηρότερον; Ὅτι δὲ οὐδὲ οὕτως[1] ἦν ἰδιώτης, ὡς οὗτοι νομίζουσι, καὶ τοῦτο λοιπὸν ἀποδεῖξαι πειράσομαι. Οὗτοι μὲν γὰρ οὐ μόνον τὸν οὐκ ἠσκημένον τὴν τῶν ἔξωθεν λόγων τερθρείαν ἰδιώτην καλοῦσιν, ἀλλὰ καὶ τὸν οὐκ εἰδότα μάχεσθαι ὑπὲρ τῶν τῆς ἀληθείας δογμάτων· καὶ καλῶς νομίζουσιν. ὁ δὲ Παῦλος οὐκ ἐν ἀμφοτέροις ἔφησεν ἰδιώτης εἶναι, ἀλλ' ἐν θατέρῳ μόνον· καὶ τοῦτο ἀσφαλιζόμενος, τὸν διορισμὸν ἀκριβῶς πεποίηται. λέγων, τῷ λόγῳ ἰδιώτης εἶναι, ἀλλ' οὐ τῇ γνώσει. Ἐγὼ δὲ εἰ μὲν τὴν λειότητα Ἰσοκράτους ἀπῄτουν, καὶ τὸν Δημοσθένους ὄγκον, καὶ τὴν Θουκυδίδου σεμνότητα, καὶ τὸ Πλάτωνος ὕψος, ἔδει φέρειν εἰς μέσον ταύτην τοῦ Παύλου τὴν μαρτυρίαν. νῦν δὲ ἐκεῖνα μὲν πάντα ἀφίημι, καὶ τὸν περίεργον τῶν ἔξωθεν καλλωπισμόν, καὶ οὐδέν μοι φράσεως, οὐδὲ ἀπαγγελίας[2] μέλει· ἀλλ' ἐξέστω καὶ τῇ λέξει πτωχεύειν, καὶ τὴν συνθήκην τῶν ὀνομάτων ἁπλῆν τινα εἶναι καὶ ἀφελῆ, μόνον μὴ τῇ γνώσει τις, καὶ τῇ τῶν δογμάτων ἀκριβείᾳ ἰδιώτης ἔστω· μήδ' ἵνα τὴν οἰκείαν ἀργίαν ἐπικαλύψῃ, τὸν μακάριον ἐκεῖνον ἀφαιρείσθω τὸ μέγιστον τῶν ἀγαθῶν, καὶ τὸ τῶν ἐγκωμίων κεφάλαιον.

